AESCHYLI

SVPPLICES

EDIDIT

MARTIN L. WEST



STVTGARDIAE IN AEDIBVS B. G. TEVBNERI MCMXCII

Die Deutsche Bibliothek – CIP-Einheitsaufnahme

Aeschylus:
[Supplices]
Aeschyli Supplices / ed. Martin L. West. – Stutgardiae :
Teubner, 1992
(Bibliotheca scriptorum Graecorum et Romanorum Teubneriana)
ISBN 3-519-01020-8
NE: West, Martin L. [Hrsg.]

Printed in Germany

Gesamtherstellung: Passavia Druckerei GmbH Passau

PRAEFATIO

De codicibus Supplicum

Hanc fabulam solus conservavit codex M (Laur. 32.9, saec. x) cum libris apographis quinque, qui infra recensentur. M adsidue correctus est ab eo qui scholia adscripsit (M^s); sollers fuit homo, qui lectiones ex scholiis extrahere quibat, hic illic coniecturas suas adiecit, verum nonnumquam lectionem meliorem oblitteravit.

Apographa auctoritate carent, sed interdum propter scribarum emendationes laudanda sunt. Mc Florentiae a Michaele Suliardo conscriptus est, Me ibidem ab Arsenio Monembasiae archiepiscopo, qui et Aristobulus Apostolides vocatur. Huius correcturas sub ipsius nomine laudavi.

Virorum doctorum nominibus in apparatu adhaerent plerumque numeri qui ad opera paginasque referant: clavem reperies in indice criticorum qui in editione maiore pp. LVII–LXXIX prostat, in hac minore autem propter amplitudinem non recipi potest.

INDEX SIGLORVM

LIBRI PRIMARII

Π_4	P. Vindob. G 40458 (ZPE 40, 1980, 92), saec. ii: Supp. 586–90
M	Laur. 32.9, saec. x

CODICIS M APOGRAPHA

Ma	Laur. S. Marco 222, saec. xiv in.
Mb	Bonon. Bibl. Univ. 2271, saec. xv
Mc	Guelferbytanus Gud. gr. 4° 88, ca. 1495
Md	Scorial. T.I.15, ca. 1540
Me	Par. gr. 2886, ca. 1518–1521

SIGLA CETERA

Σ scholium vetus (Σ^{λ} scholii lemma)
||| littera erasa
* littera obscura
α̣ littera quae α videtur esse
[ ] textus periit
⌞ ⌟ papyrus periit
⟦ ⟧ delevit scriba
{ } delenda censeo
⟨ ⟩ inserenda censeo
⟨XO.⟩ nec personae nota nec paragraphus est in cod(d).
† † corruptela non sanata
| finis versus vel lineae
ci. coniecit, coniectura
ss. suprascripsit, cum suprascripto
u. v. ut videtur

VIRORVM DOCTORVM NOMINA BREVIATA

Asul(anus)
Aur(atus)
Blomf(ield)
Casaub(onus)
Dind(orf, W.)
Rob(ortello)
Scal(iger)
Steph(anus)
Tricl(inius)
Turn(ebus)
Vict(orius)
Wil(amowitz)

ΙΚΕΤΙΔΕΣ

Didascaliae fragmentum (P. Oxy. 2256 fr. 3, saec. ii–iii = TrGF I DID C 6, III Aesch. T 70 Radt)

ἐπὶ ἄρ[χ(οντος)   Ὀλυμπιάδος ..' ἔτει .'
ἐνίκα [Αἰ]σχύλο[ς Ἱκέτισι, Αἰγυπτίοις,
  Δαν[αΐ]σι, Ἀμυ[μώνηι σατυ(ρικῆι)·
  δεύτ[ε]ρ[ο]ς Σοφοκλῆ[ς· τρίτος
5   Μέσατος ⟦Ν.[.].[⟧
    ⟦Βάκχαις, Κωφοῖ[ς σατύ(ροις)⟧
    Ποι]μέσιν, Κυκ.[
        σατυ(ρ)

praeter TrGF I 44 et III 54 sq. v. imprimis Garvie[1] 1 sqq.; Johansen–Whittle I 21 sqq.

1 ἄρ[χοντος vel Ἀρ[χεδημίδου (464/3) Lobel: illud praeferendum (Snell) propter fr. 2 eiusdem papyri (v. arg. Sept.)   2 Ἱκέτισι suppl. Snell, Αἰγυπτίοις Pieraccioni   3 Ἀμυ[μώνηι Lobel, σατ. Snell

Neque argumentum fabulae nec personarum catalogum habet M, qui liber hic unicus est

ΙΚΕΤΙΔΕΣ

⟨ΧΟΡΟΣ⟩

Ζεὺς μὲν ἀφίκτωρ ἐπίδοι προφρόνως στόλον ἡμέτερον
νάϊον ἀρθέντ' ἀπὸ προστομίων λεπτο⟨ψα⟩μάθων
Νείλου· Δίαν δὲ λιποῦσαι
5 χθόνα σύγχορτον Συρίαι φεύγομεν,
οὔτιν' ἐφ' αἵματι δημηλασίαν
ψήφωι πόλεως γνωσθεῖσαι,
ἀλλ' αὐτογενῆ φυξανορίαν,
γάμον Αἰγύπτου παίδων ἀσεβῆ τ'
10 ὀνοταζόμεναι ⟨διάνοιαν⟩.
Δαναὸς δέ, πατὴρ καὶ βούλαρχος καὶ στασίαρχος,
τάδε πεσσονομῶν κύδιστ' ἀχέων ἐπέκρανεν,
φεύγειν ἀνέδην διὰ κῦμ' ἅλιον,

14 Hsch. α 4800; (φ. ἀν.) Et. M. (+ Sym.) 103.11

Cod. M cum apographis

2 ναῖον ἀρόεντ' (ex -τα) M: corr. Turn. 3 λεπτοψαμάθων Pauw: λεπτομαθῶν M: λεπτοψάμμων Johansen[3] 5–6, cf. ad 870 4 δίαν Seidler[2] ad Tro. 176: δῖαν M λειποῦσαι M: corr. Turn. 6 οὔ τί γ' Tittler[1] 962 n. δημηλασίαν Aur.[3]: -σίαι ΣM 7 γνωσθεῖσαν M. Schmidt[3] 163, [4]225: fort. γνωθεῖσαι (praef. XLIII) 8 αὐτογένητον M: corr. Turn. (-γενῆ τὸν), anon.[3] φυξανορίαν Ahrens[1] 34, cf. Σ: φυ[..]ξανορὰν M[a], φυλαξάνοραν M[s], φυξάνοραν M[γρ] 10 suppl. Weil[10], cf. 108. Sept. 831 13 κέρδιστ' Burges[8] 14 κῦμ' ἅλιον Hsch.: κυμβαλέον M (β i. r.)

15 κέλσαι δ' Ἄργους γαῖαν, ὅθεν δὴ γένος ἡμέτερον,
τῆς οἰστροδόνου βοὸς ἐξ ἐπαφῆς
κἀξ ἐπιπνοίας Διὸς εὐχόμενον, τετέλεσται.
20 τίν' ἂν οὖν χώραν εὔφρονα μᾶλλον τῆσδ' ἀφικοίμεθα
σὺν τοῖσδ' ἱκετῶν ἐγχειριδίοις,
ἐριοστέπτοισι κλάδοισιν;
22a ⟨ἀλλ' ὦ πάτριοι δαίμονες Ἄργους⟩,
ὧν πόλις, ὧν γῆ καὶ λευκὸν ὕδωρ,
ὕπατοί τε θεοὶ καὶ βαρύτιμοι
25 χθόνιοι θήκας κατέχοντες
καὶ Ζεὺς σωτὴρ τρίτος, οἰκοφύλαξ ὁσίων ἀνδρῶν,
δέξασθ' ἱκέτην τὸν θηλυγενῆ
στόλον αἰδοίωι πνεύματι χώρας·
30 ἀρσενοπληθῆ δ' ἑσμὸν ὑβριστὴν Αἰγυπτογενῆ,
πρὶν πόδα χέρσωι τῆιδ' ἐν ἀσώδει
θεῖναι, ξὺν ὄχωι ταχυήρει
πέμψατε πόντονδ'· ἔνθα δὲ λαίλαπι χειμωνοτύπωι,
35 βροντῆι στεροπῆι τ' ὀμβροφόροισίν τ' ἀνέμοις, ἀγρίας
ἁλὸς ἀντήσαντες ὄλοιντο,

17 (ἐξ ἐπαφῆς) cf. Hsch. (Cyr.) ε 3722 21 (ἐγχ.) resp. Poll. 2.154 31 cf. Hsch. α 7984, Phot. α 3044/7, AB 457.24

---

15 κεασαι M: corr. Sophianus an Ἄργου? (Eur. Or. 714 v.l. ant.) 16 οἰστροδόμου M: corr. Turn. 17 ἐπι⟦π⟧νοίασ M 18 τετελέσθαι Schütz[2] (nol. Pauw) 19 τίν' ἂν Blomf.[4] ad Sept. 701: τίνα⟦ν⟧ M 22 ἐριο- anon.[1], Scal.[2]: ἱερο- M 22a suppl. West[7] 23 ὦ πόλις, ὦ Rob. (cf. McCall[2] 95) 24 βαρύτιμοι ΣM: βαθύτιμοι Hermann[32]: βαθυτίμους Musgrave: βαρυτίμους Enger[3] 391 28 δέξασθ' Heath: δέξαιθ' ΣM: δέξαισθ' Pauw τὸν del. Weil[10] ut sit catalexis in χώρας 29 νεύματι Askew[2] (contra Σ) 30 δεσμὸν M: expl. Turn. 33 ἐνθάδε M: expl. Rob., Turn. 35 -φόροισι M: corr. Bentley[2] 134

πρίν ποτε λέκτρων ὧν Θέμις εἴργει,
σφετεριξάμενοι πατραδελφείαν
τήνδ' ἀεκόντων, ἐπιβῆναι.

40 νῦν δ' ἐπικεκλομένα — str. 1
Δῖον πόρτιν ὑπερ-
πόντιον τιμάορ', ἶνιν {τ'} ἀνθονόμου
τὸν προγόνου βοὸς ἐξ ἐπιπνοίας
45 Ζηνὸς ἔφαψιν – ἐπωνυμίαι δ' ἐπε-
κραίνετο μόρσιμος αἰών
εὐλόγως, Ἔπαφον δ' ἐγέννασεν·

ὄντ' ἐπιλεξαμένα — ant. 1
50 νῦν ἐν ποιονόμοις
ματρὸς ἀρχαίας τόποις, τῶν πρόσθε πόνων
μνασαμένα τά τε νῦν ἐπιδείξω
πιστὰ τεκμήρια, γαιονόμοισι δ' ἄ-
55 ελπτά περ ὄντα φανεῖται·
γνώσεται δὲ λόγου τις ἐν μάκει.

49 (ἐπιλ.) Hsch. ε 4924

---

38 σφετεριξάμενοι Portus[2]: -άμενον M πατραδελφείαν Pauw: -φίαν M 39 ἀκόντων Hermann[32] 40 ἐπικεκλόμεναι M: corr. Turn. 42 τ' del Hermann[32] 43 ἀνθονόμου τὸν Hartung: ἀνθονόμου⟦σ⟧τᾶσ M: ἀνθονομούσας Porson[1] 44 ἐπιπνοίας Σ, Rob.: -αισ M Ζηνὸς ἔφαψιν] syntaxis obscura. post Ζηνός interpunx. Schütz[2] frustra 45 ἐπωνυμίαν Aur.[3] 48–9 δ'ἐγέννασε ἐ|όντ' vel δ'ἐγέννασε |όντ' M[a]: δὲ γέννασ ἐ|όντ' M[s] ἐφίτυσεν M. Schmidt[0], cf. 313 et Hsch. ἐφίτυσεν· ἐγείνατο, ἐγέννησεν 54 γαιονόμοισι δ' Hermann[32]: τά τ'ἀνόμοια οἶδ' M (τά τ' i. r.) 57 λόγουσ M: corr. Martin[2] 16 ex Σ

εἰ δὲ κυρεῖ τις πέλας οἰωνοπόλων — str. 2
ἐγγάϊος οἶκτον {οἰκτρὸν} ἀΐων,
60 δοξάσει τις ἀκούειν ὄπα τᾶς Τηρείας
μήτιδος οἰκτρᾶς ἀλόχου,
κιρκηλάτου γ' ἀηδόνος,

ἅτ' ἐπὶ χλωρῶν ποταμῶν {τ'} εἰργομένα — ant. 2
πενθεῖ νέον οἶτον ἠθέων,
65 ξυντίθησι δὲ παιδὸς μόρον, ὡς αὐτοφόνως
ὤλετο πρὸς χειρὸς ἕθεν
δυσμάτορος κότου τυχών.

τὼς καὶ ἐγὼ φιλόδυρτος Ἰαονίοισι νόμοισι — str. 3
70 δάπτω τὰν ἁπαλὰν εἱλοθερῆ παρειάν
ἀπειρόδακρύν τε καρδι̯ᾶν·

59 ἐγγαιοσ M: corr. Bamberger[3] 879/108: ἐγγάϊον Heimsoeth[1] 362 οἰκτρὸν del. Bothe[1] 60 τις Σ M: τιν' (cf. Ag. 55.1142) Aur.[3] ἀκούειν Portus[2]: ἀκούων M 61 Μήτιδος nomen proprium esse ci. Welcker 503 n.: aliter Σ: μήτιδας Pauw 62 κιρκηλάτου γ' anon.[1]: -του τ' M: -τας Hermann[32] (-της iam Wellauer[2]). v. Denniston[3] 138 sq. 502; Fraenkel[1] ad Ag. 1526 ἀηδόνος Turn.: ἀηδονῆσ M: Ἀηδόνας Wil.[8] ad Herc. 1022 63 ἅ τ' ἐπὶ (… πετάλων) Wecklein[19]: ἅτοπο (το ex τα) M: ἅ τ' ἀπὸ Vict. χλωρῶν ποταμῶν Scheer[2] 44 (χλωρῶν πετάλων Hermann[32]): χώρων ποταμῶν τ' M εἰργομένα Vict.: ἐργ- M: ἐγρ- Hermann[32] (contra Σ) εἰργ. cum ἠθέων iunge; flumina ei minime praeclusa sunt 64 οἶτον M. Schmidt[4] 234 duce Hermann[32]: οἶκτον (59) M 66 ἕθεν Porson[1]: ἕο ἐν M 68 φιλοδύρτοισ M: corr. Heath 71 εἱλοθερῆ Musgrave (cf. 154 sq.): Νειλοθερῆ Σ M 72 καρδιάν Johansen[3] 8, -ᾶν West (praef. XXXIV): καρδίαν M

γοεδνὰ δ' ἀνθεμίζομαι
δειμαίνουσ', ἀφίλου τᾶσδε φυγᾶς
75 ἀερίας ἀπὸ γᾶς
εἴ τίς ἐστι κηδεμών.

ἀλλὰ θεοὶ γενέται κλύετ' εὖ τὸ δίκαιον ἰδόντες· ant. 3
80 ἥβαν μὴ τέλεον δόντες ἔχειν παρ' αἶσαν,
ὕβριν δ' ἐτύμως στυγόντες,
πέλοιτ' ἂν ἔνδικοι γάμοις.
ἔστι δὲ κἀκ πολέμου τειρομένοις
βωμὸς ἀρῆς φυγάσιν
85 ῥῦμα, δαιμόνων σέβας.

εὖ θείη Διός, εἰ παναλα- str. 4
θῶς Διός, ἵμερος. οὐκ εὐθήρατος ἐτύχθη·
93 δαῦλοι γὰρ πραπίδων
δάσκιοί τε τείνου-
95 σιν πόροι, κατιδεῖν ἄφραστοι·

75 cf. Hsch. α 1391, St. Byz. 30.9, sch. A.R. 1.580a

73 γόεδνα M: corr. J.G. Schneider 74 δειμαίνουσ' ἀφίλου Musgrave (ἀφίλους iam Arsenius): -ουσα φίλουσ M (ί M[s] ex ό) 75 Ἀερίας quasi nomen Aegypti intellex. Ap. Rh. 4.267, alii (sed non Σ) 77 θεοὶ οἱ M: corr. Pauw 79 ἥβαν Σ, Schütz[6]: ηβαι M 81 ἑτοίμωσ M: corr. fere Mc (ἐτύμως), Portus[2] 82 ἔνδικοι γάμοις Σ M: ἔνδικος γάμος Oberdick[1] 83 ἔστιν κἀκ Enger[3] 392 πολέμου Σ[λ] Ma: πτολέμου M 84 ἀρῆς Σ Mc: ἄρης M, Σ alterum 86 εὖ θείη Hartung: εἰ θείη M: εἴθ' εἴη Scal.[2] εἰ Wil.[18] 30 n. (praeeunte Hartung): εὖ M 88–90 et 93–5 inter se transp. Westphal[2] 158, [3]99 93 δαυλοὶ M: corr. Pearson[1]. cf. Radt ad fr. 27 94 τείνουσι M[s], τίν- M, -ουσιν Porson[1] 95 κατειδεῖν M: corr. Arsenius

91 πίπτει δ' ἀσφαλὲς οὐδ' ἐπὶ νώ- ant. 4
τωι, κορυφᾶι Διὸς εἰ κρανθῆι πρᾶγμα τέλειον.
88 πάνται τοι φλεγέθει
κἀν σκότωι μελαίναι
90 ξὺν τύχαι μερόπεσσι λαοῖς.

96 ἰάπτει δ' ἐλπίδων str. 5
ἀφ' ὑψιπύργων πανώλεις βροτούς,
βίαν δ' οὔτιν' ἐξοπλίζει·
100 πᾶν ἄπονον δαιμονίων·
ἥμενος ὃν φρόνημά πως
αὐτόθεν ἐξέπραξεν ἔμπας ἑδράνων ἀφ' ἁγνῶν.

ἰδέσθω δ' εἰς ὕβριν, ant. 5
105 Βήλειος οἵαι νεάζει πυθμὴν
δι' ἁμὸν γάμον τεθαλώς
δυσπαραβούλοισι φρεσίν
καὶ διάνοιαν μαινόλιν
110 κέντρον ἔχων ἄφυκτον †ἄται δ' ἀπάται† μεταγνούς.

92 Διὸς εἰ κορυφᾶι M. Schmidt[0] 96 δὲ ἀπϊδὼν M: corr. Musgrave 100 πᾶν Labbaeus (παν- Scal.[2]), ἄπονον Pauw (δ' ἄπονον Enger[3] 395): τὰν ἄποινον M δαιμόνιον Bothe[2] 101 ἥμενος Paley[1]: ἥμενον Σ M ὃν Σ[uv], Haupt: ἄνω M 103 ἀφ' anon.[4] (cf. Σ 102): ἐφ' Σ M 104 δ' εἰς Bothe[2]: δ'ἐσ M: fort. δὴ 'ς 105 Βήλειος West[7]: βρότειον (ει ex ι) M: βρότειος Schütz[2] οἵαι Schütz[2]: οἷα M: οἷαν nol. Wellauer[2] 107 τεθαλὼς Musgrave (-θη-), Bothe[1], cf. Σ: τὸ θάλοσ (ex -ωσ) M 109 μαινόλιν] ἀλεὰν Tucker[2] 111 ἄται δ' ἀπάται Σ M[s], ἄτα⟦.⟧ δ'ἀπάτα⟦.⟧ M: ἄταν Mc[a], quod arridet, deinde fort. δ' delendum (Enger[3] 396), tum e.g. ἄπορον, vel ἄταν δ' ἀγαπᾶν (cf. Ag. 221, Hes. Op. 58): ἄφυκτον ἄτας δ' ἀπάταν Westphal[2] 156: ἄτας ἀπάταν μεταλγοῦς Tucker[2]

τοιαῦτα πάθεα μέλεα θρεομένα λέγω, str. 6
λιγέα βαρέα δακρυοπετῆ.
ἰή, ἰή,
115 ἰηλέμοισιν ἐμπρεπής {θρεομένη μέλη}
ζῶσα γόοις με τιμῶ.

ἱλεῶμαι μὲν Ἀπίαν βοῦνιν – ephymn. 1
καρβᾶνα δ' αὐδὰν εὖ γᾶ κοννεῖς –
120 πολλάκι δ' ἐμπίτνω ξὺν λακίδι λινοσινεῖ
Σιδονίαι καλύπτραι.

θεοῖς δ' ἐναγέα τέλεα, πελομένων καλῶς, ant. 6
ἐπίδρομ', ὁπόθι θάνατος ἀπῆι.
125 ἰώ, ἰώ,
ἰὼ δυσάγκριτοι πόνοι·
ποῖ τόδε κῦμ' ἀπάξει;

ἱλεῶμαι μὲν Ἀπίαν βοῦνιν – ephymn. 1
130 καρβᾶνα δ' αὐδὰν εὖ γᾶ κοννεῖς –
πολλάκι δ' ἐμπίτνω ξὺν λακίδι λινοσινεῖ
Σιδονίαι καλύπτραι.

117 cf. Hsch. β 941, Et.G. β 218 (M. 208.3, Sym. β 183) 118 cf. Hsch. ε 1243 119 cf. Hsch. κ 3529

---

112 λέγων M: corr. Canter, Portus[2] 115 ἐμπρεπής (cf. Cho. 18. Soph. El. 1187) Meffert: ἐμπρέπη M θρ. μέλη (gl. ad 112) del. Porson[1] 116 ζώσατο οἶσ μὲ τιμᾶι M[mg] 117 ἱλεῶμαι Schulze[3] 324: ἱλέωμαι M: ἱλεοῦμαι Wil.[19] cl. Pl. Leg. 804b 119 εὐακοννεῖσ·, 130 εὐγακόννισ M: corr. Boissonade (εὖ γᾶ vel σὺ γᾶ), Burges[3] 804 (κοννεῖς cl. Σ, Hsch.) 120 ἐμπίτνω, 131 ἐμπιτνῶ M 121 λίνοισινῆι, 132 αἴνοισινῆ M: corr. Bücheler[3] 9/90 122 et 133 σινδονία καλύπτρα M[a] 123–4 'ritus polluti (quales nos timemus), re bene procedente, deorum incursioni obnoxii sunt, modo ne letum praevenerit' 124 ἐπιδρόμ°ωπόθι M: corr. Hermann[23] 119, cf. Σ ἀπῆι Σ: ὅπηι M 126 πνοαί Weil[15] 128–33 v. ad 117–22

πλάτα μὲν οὖν λινορραφής τε — str. 7
135 δόμος ἅλα στέγων δορός
ἀχείματόν μ' ἔπεμπε σὺν πνοαῖς, οὐδὲ μέμφομαι·
τελευτὰς δ' ἐν χρόνωι πατὴρ ὁ παντόπτας
140 πρευμενεῖς κτίσειεν·

σπέρμα σεμνᾶς μέγα ματρὸς εὐνάς — ephymn. 2
ἀνδρῶν, ἐέ,
ἄγαμον ἀδάματον ἐκφυγεῖν.

θέλουσα δ' αὖ θέλουσαν ἁγνά μ' — ant. 7
145 ἐπιδέτω Διὸς κόρα,
ἔχουσα σέμν' ἐνώπι' ἀσφαλῆ, παντὶ δὲ σθένει
διωγμοῖς ἀσχαλῶσ' ἀδμῆτος ἀδμήτα
150 ῥύσιος γενέσθω·

σπέρμα σεμνᾶς μέγα ματρὸς εὐνάς — ephymn. 2
ἀνδρῶν, ἐέ,
ἄγαμον ἀδάματον ἐκφυγεῖν.

134–5 τ' εὖ δόμος Weil[10]: τ' ἔντονος ('si necesse foret') Tucker[2], debuit τε τόνος **136** ἀχίματόν M: corr. Arsenius συμπνοιαῖσ M: corr. Porson[1] **138** τελευτᾶσ M: corr. Musgrave **140** πρευμενὴς Turn. **141** ματρὸς μέγα σεμνᾶς Jurenka[1] 188 με pro μέγα Wil.[22] praeeunte Tucker[2]; malim ἐμὲ **143 et 153** ἀδάμαντον M: corr. Bothe[1] **146** ἐδώλι' Tucker[2] **147** ἀσφαλῆ Sidgwick[4]: ἀσφαλέσ Σ[uv] M: -ῶς Heath: -ής Young[4] 218 σθενοσ̣. M[a], σθενουσι M[s]: corr. Canter, Portus[2] **148** διωγμοῖς (ἐμοῖσιν) ἀσχαλῶσ' Hermann[32]: διωγμοῖσι δ' ἀσφαλέασ M **149** ἀδμῆτος Pauw: ἀδμήτας ΣM (ἀδμῆτας Westphal[2] 160): ἄδμητος ἀδμήται idem Pauw **151–3** v. ad 141–3

εἰ δὲ μή, μελανθὲς — str. 8
155 ἡλιόκτυπον γένος
τὸν γάϊον, τὸν πολυξενώτατον
Ζῆνα τῶν κεκμηκότων
ἱξόμεσθα σὺν κλάδοις
160 ἀρτάναις θανοῦσαι,
μὴ τυχοῦσαι θεῶν Ὀλυμπίων.

ἆ Ζήν· Ἰοῦς ἰὼ μῆνις — ephymn. 3
μάστειρ' ἐκ θεῶν· κοννῶ δ' ἄγαν
165 γαμετ⟨ᾶς Διὸς⟩ οὐρανονίκου.
χαλεποῦ γὰρ ἐκ πνεύματος εἶσι χειμών.

καὶ τότ' οὐ δικαίοις — ant. 8
Ζεὺς ἐνέξεται ψόγοις,
170 τὸν τᾶς βοὸς παῖδ' ἀτιμάσας, τὸν αὐ-
τός ποτ' ἔκτισεν γόνωι,
νῦν ἔχων παλίντροπον
ὄψιν ἐν λιταῖσιν;

154 (μελανθές) Hsch. μ 653 156–8 Et. Gud. 578.11 Stef. ~ Ἐκλ. διαφ. λέξ. AO II 443.10 (e Seleuco) 159 (ἱξ.) cf. Hsch. (Cyr.) ι 715 167 cf. Hsch. χ 271 169 cf. Hsch. ε 2904

---

154 δὲ Σ: δὴ M 155 ἡλιό- Wellauer[2]: ἠδιό- M 156 γάϊον Wellauer[2], cf. Σ: ταιον M: ἀγραῖον Et. Gud. 158 τῶν] τὸν Whittle[5] 11 162 ἆ Ζήν Salvini: ἀζην M, ὦ Ζεῦ Σ: ἆ Ζάν Bamberger[3] 882/110: ἄζει μ' Tittler[2?] Ἰοῦς ἰὼ Rob.: ιουσιω M: ἰὼ Ἰοῦς Schwerdt[2]: ἡ παρὰ τῶν θεῶν μῆνις κατὰ Ἰοῦς †ὠδῆς† (ἰώδης Hermann[32]) ἐστι καὶ μαστιγωτική Σ, unde 163 μαστίκτειρ' Abresch II 145 164 κοννῶ δ' Turn., ἄγαν (invidium) Bamberger l. c.: κοννωδάταν M: fort. κοννῶ versum claudit, δ' delendum 165 γαμετ⟨ᾶς Διὸς⟩ Hermann[32], οὐρανονίκου anon.[1] (γαμετᾶς et -νείκου iam Turn.): γαμετουρανόνεικον M, item (sive -νικον) Σ[uv] 166 γὰρ] δ' Weil[10] 169 ἐνεύξεται Σ M: corr. Porson[1] (cf. Hsch.?) ψόγοις Headlam[2] 297: λόγοις Σ M

175 ὕψοθεν δ' εὖ κλύοι καλούμενος.

175 a ⟨ἆ Ζήν· Ἰοῦς ἰὼ μῆνις — ephymn. 3
bc μάστειρ' ἐκ θεῶν· κοννῶ δ' ἄγαν
d γαμετᾶς Διὸς οὐρανονίκου.
ef χαλεποῦ γὰρ ἐκ πνεύματος εἶσι χειμών.⟩

ΔΑΝΑΟΣ

παῖδες, φρονεῖν χρή· ξὺν φρονοῦντι δ' ἥκετε
πιστῶι γέροντι τῶιδε ναυκλήρωι πατρί·
καὶ τἀπὶ χέρσου νῦν προμηθίαν λαβὼν
αἰνῶ φυλάξαι τἄμ' ἔπη δελτουμένας.
180 ὁρῶ κόνιν, ἄναυδον ἄγγελον στρατοῦ·
σύριγγες οὐ σιγῶσιν ἀξονήλατοι·
ὄχλον δ' ὑπασπιστῆρα καὶ δορυσσόον
λεύσσω ξὺν ἵπποις καμπύλοις τ' ὀχήμασιν.
τάχ' ἂν πρὸς ἡμᾶς τῆσδε γῆς ἀρχηγέται
185 ὀπτῆρες εἶεν ἀγγέλων πεπυσμένοι.
ἀλλ' εἴτ' ἀπήμων εἴτε καὶ τεθηγμένος
ὠμῆι ξὺν ὀργῆι τόνδ' ἐπόρνυται στόλον,
ἄμεινόν ἐστι παντὸς οὕνεκ' ὦ κόραι
πάγον προσίζειν τῶνδ' ἀγωνίων θεῶν·
190 κρεῖσσον δὲ πύργου βωμός, ἄρρηκτον σάκος.

189 (ἀγ. θεῶν, cf. 242.333.355. Ag. 513) cf. sch. bT Il. 24.1 b, Eu. 1335.57

---

175 a–f ephymnium iteravit Canter 176 ΔΑΝΑΟΣ Scal.[2]: πρ(εσ)/ M, πρεσβυτης M[s] ἥκετε Porson[1]: ἵκετε M 178 fort. praestat νυν προμήθεἰαν M λαβὼν Wordsworth[1] 211: λαβεῖν M, quo servato 179 θ' ἅμ' Heath 181 σιγῶσι δ' Enger[3] 397 185 ὀπτῆρας εἶεν Herwerden[5] 128 186 τεθηγμένος Portus[2]: τεθειμένοσ M 187 τῶνδ' ... στόλος Todt[3] 24 (contra Σ) 188 εἵνεκ' M: corr. Heath 189 τόνδ' Turn. 190 κρείσσων M[a]

ἀλλ' ὡς τάχιστα βᾶτε, καὶ λευκοστεφεῖς
ἱκετηρίας, ἀγάλματ' αἰδοίου Διός,
σεμνῶς ἔχουσαι διὰ χερῶν εὐωνύμων
αἰδοῖα καὶ γοεδνὰ καὶ ζαχρεῖ' ἔπη
195 ξένους ἀμείβεσθ', ὡς ἐπήλυδας πρέπει,
τορῶς λέγουσαι τάσδ' ἀναιμάκτους φυγάς.
φθογγῆι δ' ἑπέσθω πρῶτα μὲν τὸ μὴ θρασύ,
τὸ μὴ μάταιον δ' ἐκ σεσωφρονισμένων
ἴτω προσώπων ὄμματος παρ' ἡσύχου.
200 καὶ μὴ πρόλεσχος μηδ' ἐφολκὸς ἐν λόγωι
γένηι· τὸ τῆιδε κάρτ' ἐπίφθονον γένος.
μέμνησο δ' εἴκειν· χρεῖος εἶ, ξένη, φυγάς·
θρασυστομεῖν γὰρ οὐ πρέπει τοὺς ἥσσονας.
ΧΟ. πάτερ, φρονούντως πρὸς φρονοῦντας ἐννέπεις.
205 φυλάξομαι δὲ τάσδε μεμνῆσθαι σέθεν
κεδνὰς ἐφετμάς· Ζεὺς δὲ γεννήτωρ ἴδοι.
210 ⟨ΔΑ.⟩ ἴδοιτο δῆτα πρευμενοῦς ἀπ' ὄμματος.
208 ⟨ΧΟ.⟩ θέλοιμ' ἂν ἤδη σοὶ πέλας θρόνους ἔχειν.
207 ⟨ΔΑ.⟩ μή νυν σχόλαζε, μηχανῆς δ' ἔστω κράτος.

203 cf. Liban. Ep. 81.1 (X 81.11 F.) 210 cf. Hsch. (Cyr.) π 3257

192 ἱκτηρίας Vict. 193 συνωνύμων M: corr. Portus[2] et Scal.[2] ex Σ 194 γοείδηα M: corr. fere Rob., Turn. τὰχρέα M: corr. Geel 79 197 φθογγὴ M: corr. Md ἐπέστω Bothe[1], cf. Pind. N. 7.23. Ar. Nub. 1027 198 σεσωφρονισμένων (cf. 724) Dind.[11] lxx: μετώπω σωφρονῶν M (fuerat u.v. μετώπων v.l. pro προσώπων 199) 202 εἶ ξένη Sophianus et Turn., cf. Σ: εἶξεν ἢ M 204 φρονούντως] -οῦντοσ M[as] πρὸς φρονοῦσαν Porson[0] 205 fort. δὴ 210–22 desunt paragraphi 210 post 206 trai. Burges[3] 807, 208 ante 207 Hermann[32]: item fere Oberdick[1] sed etiam 211 cum 210 remisit (Xo. 204–6, Δα. 210 ⟨210a⟩ 211, Xo. 208, Δα. 207) 208 θάκους ἔχειν Wecklein[16] 207 μηνῦν M: corr. Stanley[3]

209 ⟨ΧΟ.⟩ ὦ Ζεῦ, κόπων οἴκτιρε μὴ ἀπολωλότας.
211 ⟨ΔΑ.⟩ κείνου θέλοντος εὖ τελευτήσει τάδε.
καὶ Ζηνὸς ὄρνιν τόνδε νῦν κικλήσκετε.
⟨ΧΟ.⟩ καλοῦμεν αὐγὰς Ἡλίου σωτηρίους.
⟨ΔΑ.⟩ ἁγνόν τ' Ἀπόλλω, φυγάδ' ἀπ' οὐρανοῦ θεόν.
215 ⟨ΧΟ.⟩ εἰδὼς ἂν αἶσαν τήνδε συγγνοίη βροτοῖς.
⟨ΔΑ.⟩ συγγνοῖτο δῆτα καὶ παρασταίη πρόφρων.
⟨ΧΟ.⟩ τίν' οὖν κικλήσκω τῶνδε δαιμόνων ἔτι;
⟨ΔΑ.⟩ ὁρῶ τρίαιναν τήνδε σημεῖον θεοῦ.
⟨ΧΟ.⟩ ἀλλ' εὖ τ' ἔπεμψεν εὖ τε δεξάσθω χθονί.
220 ⟨ΔΑ.⟩ κήρυξ ὅδ' ἄλλος τοῖσιν Ἑλλήνων νόμοις.
⟨ΧΟ.⟩ ἐλευθέροις νυν ἐσθλὰ κηρυκευέτω.
⟨ΔΑ.⟩ πάντων δ' ἀνάκτων τῶνδε κοινοβωμίαν
σέβεσθ'· ἐν ἁγνῶι δ' ἑσμὸς ὣς πελειάδων
ἵζεσθε κίρκων τῶν ὁμοπτέρων φόβωι,
225 ἐχθρῶν ὁμαίμων καὶ μιαινόντων γένος.
ὄρνιθος ὄρνις πῶς ἂν ἁγνεύοι φαγών;

214 Plut. Def. orac. 417e, De exil. 607c 226 Plut. Qu. Rom. 286c, Vit. Romul. 9.6

---

209 ἰὼ M: corr. Turn. ζεὺσ M[as] σκοπῶν Johansen[1] 48 οἴκτειρε M: corr. Kirchhoff[1] 212 ὄρνιν Σ M: ἶνιν Kiehl[2] (noluerat Bamberger[6] 697/118), quo recepto ἁγνόν γ' in 214 Page[3] κικλήσκεται M (ή M[s] ex ί): corr. Md[ss] 215 possis εἰδώς ⟨γ'⟩ εὐγνώη M: corr. Rob., Turn. (συγγνῴη), Lobeck[2] 347 216 σύγγνοιτο M (σύγν- M[a]): corr. Steph. (ξυγ- Porson[1]) 217 κικλίσκω M: corr. Arsenius 218 ὁρᾶις … θεοῦ; Dawe[4] malim ποντίου θεοῦ, cf. Tucker[2] ad loc. 220 κήρυξ Kueck 13: Ἑρμῆς Σ M ⟨θ'⟩ ὅδ' Jurenka[1] 191 221 νῦν M: corr. Canter 222 fort. τ', cf. 693. Ag. 513 τήνδε Portus[2] 223 δεσμὸσ M: expl. Portus[2] 224 ἶξεσθε κέρκω M[s], ἵζεσθαι κρέκω M: corr. Rob., Turn. (ἵζεσθε iam Md) 225 possis ἐχθρῶν ⟨γ'⟩ 226 ἂν ἁγνεύοι Plut. utroque loco: ἀναινεύοι M

πῶς δ' ἂν γαμῶν ἄκουσαν ἄκοντος πάρα
ἁγνὸς γένοιτ' ἄν; οὐδὲ μὴ'ν Ἅιδου θανὼν
φύγηι ματαίων αἰτίας πράξας τάδε.
230 κἀκεῖ δικάζει τἀ⟨μ⟩πλακήμαθ', ὡς λόγος,
Ζεὺς ἄλλος ἐν καμοῦσιν ὑστάτας δίκας.
σκοπεῖτε κἀμείβεσθε τόνδε τὸν τ⟨ρ⟩όπον,
ὅπως ἂν ὕμιν πρᾶγος εὖ νικᾶι τόδε.

⟨ΠΕΛΑΣΓΟΣ⟩

ποδαπὸν ὅμιλον τόνδ' ἀνελληνόστολον
235 πέπλοισι βαρβάροισι κἀμπυκώμασιν
χλίοντα προσφωνοῦμεν; οὐ γὰρ Ἀργολὶς
ἐσθὴς γυναικῶν οὐδ' ἀφ' Ἑλλάδος τόπων.
ὅπως δὲ χώραν οὔτε κηρύκων ὕπο
ἀπρόξενοί τε νόσφιν ἡγητῶν μολεῖν
240 ἔτλητ' ἀτρέστως, τοῦτο θαυμαστὸν πέλει.
κλάδοι γε μὲν δὴ κατὰ νόμους ἀφικτόρων
κεῖνται παρ' ὑμῶν πρὸς θεοῖς ἀγωνίοις·
μόνον τόδ' Ἑλλὰς χθὼν ξυνοίσεται στόχωι.
καὶ τἄλλα, πόλλ' ἔτ' εἰκάσαι δίκαιον ἦν,
245 εἰ μὴ παρόντι φθόγγος ἦν ὁ σημανῶν.

227 γάμων M: corr. Rob., Turn. ἀκ- M 228 μὴν M: expl. Turn. 229 μάταιον M: corr. Musgrave 230 ταπλα ἐν μαβωσ M: corr. Turn. (τἀπλακη-), Vict. (-μαθ' ὡς), Steph. (τἀμπλ-) 232 τρόπον anon.[3]: τόπον M 233 ὑμῖν M 234 ΠΕΛΑΣΓΟΣ Wil.[19]: Βα(σιλεύς) Rob., Turn.: nulla nota in M ἀνελληνόστολον Bothe[1], Σ[uv]: ἀνέλληνα στόλον M 235 κἀμπυκώμασιν (cf. 431–2) Bergk[1] 315: καὶ πυκνώμασι M 238 οὐδὲ M: corr. Hermann[32] 239 νόσφι θ' Portus[2] 240 ἀτρέστως Sophianus, Turn.: ἀκρέστωσ M 242 ὑμῶν Aur.[3], Portus[2]: ὑμῖν M 243 ξυν- Porson[1]: συν- M 244 κἄτ' ἄλλα Wellauer[2]: καὶ πολλά γ' ἄλλα μ' Elmsley[2] 73, item cum ἄλλ' ἔτ' Harberton[1] ἔτ' εἰκάσαι Martin[2] 18: ἐπεικάσαι M possis κἄτ' ἄλλα πόλλ' ἔμ'

ΧΟ. εἴρηκας ἀμφὶ κόσμον ἀψευδῆ λόγον.
ἐγὼ δὲ πρὸς σὲ πότερον ὡς ἔτην λέγω,
ἢ τηρὸν ἱερόρραβδον, ἢ πόλεως ἀγόν;
ΠΕ. πρὸς ταῦτ' ἀμείβου καὶ λέγ' εὐθαρσὴς ἐμοί.
250 τοῦ γηγενοῦς γάρ εἰμ' ἐγὼ Παλαίχθονος
ἶνις Πελασγός, τῆσδε γῆς ἀρχηγέτης.
ἐμοῦ δ' ἄνακτος εὐλόγως ἐπώνυμον
γένος Πελασγῶν τήνδε καρποῦται χθόνα.
καὶ πᾶσαν αἶαν, ἧς δι' ἁγνὸς ἔρχεται
255 Στρυμών, τὸ πρὸς δύνοντος ἡλίου κρατῶ·
ὁρίζομαι δὲ τήν τε Περραιβῶν χθόνα
Πίνδου τε τἀπέκεινα, Παιόνων πέλας,
ὄρη τε Δωδωναῖα· συντέμνει δ' ὅρος
ὑγρᾶς θαλάσσης· τῶνδε τἀπὶ τάδε κρατῶ.
260 αὐτῆς δὲ χώρας Ἀπίας πέδον τόδε
πάλαι κέκληται φωτὸς ἰατροῦ χάριν·
Ἆπις γὰρ ἐλθὼν ἐκ πέρας Ναυπακτίας
ἰατρόμαντις παῖς Ἀπόλλωνος χθόνα
τήνδ' ἐκκαθαίρει κνωδάλων βροτοφθόρων,
265 τὰ δὴ παλαιῶν αἱμάτων μιάσμασιν

252-3 cf. Strab. 5.2.4 p. 221 262 sch. et Eu. in D.P. 415 263 (ἰατρόμ.) cf. Eu. 48.37

247 ἐτὴν M: corr. Arsenius 248 ἱερόραβδον anon.[3] (-ὀρρ- Whittle[6]): ἥερου ῥάβδον M, mg. οἶμαι ἢ ἑρμοῦ ῥαβδον M[s]: ἱεροῦ ῥάβδον Turn. (ἱροῦ anon.[3]) 249 post 245 trai. Valckenaer[1] ad Pho. 1331, quo accepto μέν pro γάρ in 250 Abbott 311 λέγ' εὐθαρσὴς Turn., -σῶς Rob.: λέγετ' εὐθαρσεῖς M 251 πελασγοῦ M: corr. Canter 254 αἶαν ἧς Turn., cf. Σ: αἴδνησ M (αἶαν Mc[ss]) δι' ἁγνὸς (cf. Pers. 497) Wordsworth[2]: διάλγοσ M ἣν ... ἐργάθει Hartung 256 τήν τε Portus[2]: τῆνδε M Παιόνων et 257 Περραιβῶν Johansen[1] 51 257 Χαόνων Tucker[2] 259 τἄπειτα δὲ M: corr. Canter 265 ἃ Dind.[13] 234b δὴ Turn.: δὲ M

χρανθεῖσ' ἀνῆκε γαῖα †μηνεῖται ἄκη†
δρακονθόμιλον δυσμενῆ ξυνοικίαν.
τούτων ἄκη τομαῖα καὶ λυτήρια
πράξας ⟨ἀ⟩μέμπτως Ἆπις Ἀργείαι χθονί
270 μνήμην τότ' ἀντίμισθον ηὗρετ' ἐν λιταῖς.
ἔχουσα δ' ἤδη τἀπ' ἐμοῦ τεκμήρια
γένος τ' ἂν ἐξεύχοιο καὶ λέγοις πρόσω·
μακράν γε μὲν δὴ ῥῆσιν οὐ στέργει πόλις.
⟨ΧΟ.⟩ βραχὺς τορός θ' ὁ μῦθος· Ἀργεῖαι γένος
275 ἐξευχόμεσθα σπέρμά τ' εὐτέκνου βοός·
χὠς ταῦτ' ἀληθῆ, πιστὰ προσφύσω λόγωι.
ΠΕ. ἄπιστα μυθεῖσθ' ὦ ξέναι κλυεῖν ἐμοί,
ὅπως τόδ' ὑμῖν ἐστιν Ἀργεῖον γένος.
Λιβυστικαῖς γὰρ μᾶλλον ἐμφερέστεραι
280 γυναιξίν ἐστε κοὐδαμῶς ἐγχωρίαις·
καὶ Νεῖλος ἂν θρέψειε τοιοῦτον φυτόν·
Κύπριος χαρακτήρ τ' ἐν γυναικείοις τύποις
εἰκὼς πέπληκται τεκτόνων πρὸς ἀρσένων·

266 μηνῖτις δάκη Wecklein[11] (δάκη iam Turn.): μηνίσασ' ἄχη Martin[2] 18 (cf. Cho. 586): μηνίσασ' ἄγει Blaydes[2]: possis e.g. ἄ⟨μαχα⟩ μηνίματα (cf. Cho. 278). ἄκη ex 268 u.v. 267 δρακονθόμιλον Bothe[1]: δράκονθ' ὅμιλον M[s], δράκων θ'ὁμιλῶν M[a] 268 καυτήρια Naber[2] 80 269 μεμπτῶσ ἄπεισ' M: corr. Rob., Turn. (ἄπις iam Mc[c]) 270 τότ' Kirchhoff[2] (cf. Eum. 688): ποντ M: ποτ' Turn. αντινεισθον M: corr. Turn. εὗρετ M: corr. Dind.[4] 271 ἔχουσα δ' Heimsoeth[1] 420: ἔχον δ'ἂν M: ἔχουσαν M[syρ], ἔχουσ' ἂν Vict. 272 γένοιτ' ... λέγοι προσωσ M (πρόσω Arsenius): corr. Rob. 273 γέ μιν M: corr. Rob. δηρίσιν M: corr. Sophianus, Turn. 275 σπέρματ' M. cf. 290 276 χὠς Sommerstein[2] 69: καὶ M πιστὰ Zakas: πάντα M λόγων M[as] 277 ἄπειστα M: corr. Asul. κλύειν M 280 γυναιξὶ δ' M: corr. Turn. 282 κύπρισ M[as]

Ἰνδῶν τ' ἀκούω νομάδας ἱπποβάμοσιν
285 εἶναι καμήλοις ἀστραβιζούσας χθόνα
παρ' Αἰθίοψιν ἀστυγειτονουμένας·
καὶ τὰς ἀνάνδρους κρεοβότους {δ'} Ἀμάζονας,
εἰ τοξοτευχεῖς ἦστε, κάρτ' ἂν ᾔκασα
ὑμᾶς. διδαχθεὶς ⟨δ'⟩ ἂν τόδ' εἰδείην πλέον,
290 ὅπως γένεθλον σπέρμά τ' Ἀργεῖον τὸ σόν.
⟨ΧΟ.⟩ κληιδοῦχον Ἥρας φασὶ δωμάτων ποτέ
Ἰὼ γενέσθαι τῆιδ' ἐν Ἀργείαι χθονί.
293 ⟨ΠΕ.⟩ ἦν ὡς μάλιστα, καὶ φάτις πολλὴ κρατεῖ.
295 ⟨ΧΟ.⟩ μὴ καὶ λόγος τις Ζῆνα μιχθῆνα⟨ι⟩ βροτῶι;
⟨ΠΕ.⟩ κἄκρυπτά γ' Ἥρας ταῦτ' ἄ⟨ρ' ἦν⟩ παλαίσματα.
⟨ΧΟ. . . . . ⟩
⟨ΠΕ.⟩ πῶς οὖν τελευτᾶι βασιλέωιν νείκη τάδε;

284 Ἰνδῶν Hartung: ἰνδούσ M: Ἰνδάς anon.[3]: τοίας Tucker[2] (τοίους Musgrave) ἀκούων M: corr. Rob., Turn. ἱπποβάμοισιν M: corr. Turn. 285 εἶναι] τοίας Heimsoeth[1] 145 ἀστραβιζούσαις Σ M[a] 287 κρεοβότους Scal.[2], cf. fr. 451 l, 17: -βρότους M: -βόρους anon.[3] δ' del. Wellauer[2]: τ' Porson[1] post h. v. lac. stat. Johansen[2], 'Amazonas ⟨scio circa Caucasum [?] habitare, quibus⟩' 288 ἦτε M[c] 289 ὑμῖν Blaydes[7] 86 (contra Σ) ⟨δ'⟩ Abresch II 157 290 σπέρμά sic M 291–335 desunt personarum notae; 298–307 distributio inter chorum et regem minus certa 292 τῆ ἰδεῖν M: corr. Sophianus, Turn. 293 χὴ Tucker[2] cl. Soph. Ai. 978, contra Pers. 738 294 nullus est 295 regi, 296 choro sunt qui tribuant duce Rob. μιχθῆνα M: corr. Mc 296 κἄκρυπτα Hermann[32]: καὶ κρυπτά M: κοὐ κρυπτά Portus[2] (κρύβδα Stanley[1]) ἄ⟨ρ' ἦν⟩ West[7]: ⟨γ' ἦν⟩ Butler: possis etiam ἄ⟨γειν⟩ παλαίσματα Butler (παλαισμάτων iam Stanley[1]): παλλαγμάτων M, αἱ περιπλοκαί Σ: ⟨τἀμ⟩ παλάγματα Hermann[32], -γματ' ἦν Wil.[19], cl. Hsch. ἐμπαλάγματα· αἱ ἐμπλοκαί 297 versum hic deesse ci. Porson[1]; fort. in -μάτων exiit (296 M), e.g. κυρεῖ δύ' ἤδη τῶν ἐμῶν τοξευμάτων 298 βασιλέωιν Schulze[3] 324 (-έοιν Wecklein[11]): -έων M. cf. ad Sept. 820

⟨ΧΟ.⟩ βοῦν τὴν γυναῖκ' ἔθηκεν Ἀργεία θεός.
300 ⟨ΠΕ.⟩ οὐκοῦν πελάζει Ζεὺς ἔτ' εὐκραίρωι βοΐ;
⟨ΧΟ.⟩ φᾶσιν, πρέποντα βουθόρωι ταύρωι δέμας.
⟨ΠΕ.⟩ τί δῆ⟨τα⟩ πρὸς ταῦτ' ἄλοχο⟨ς⟩ ἰσχυρὰ Διός;
⟨ΧΟ.⟩ τὸν πάνθ' ὁρῶντα φύλακ' ἐπέστησεν βοΐ.
⟨ΠΕ.⟩ ποῖον πανόπτην οἰοβουκόλον λέγεις;
305 ⟨ΧΟ.⟩ Ἄργον, τὸν Ἑρμῆς παῖδα Γῆς κατέκτανεν.
⟨ΠΕ.⟩ τί οὖν ἔτευξ' ἔτ' ἄλλο δυσπότμωι βοΐ;
306a ⟨ΧΟ.⟩ βοηλάτην ⟨ἔπεμψεν ἐπτερωμένον⟩.
⟨ΠΕ. βοῶν λέγεις⟩ μύωπα κινητήριον.
308 ⟨ΧΟ.⟩ οἶστρον καλοῦσιν αὐτὸν οἱ Νείλου πέλας.
310 ⟨ΠΕ.⟩ καὶ ταῦτ' ἔλεξας πάντα συγκόλλως ἐμοί.
311 ⟨ΧΟ.⟩ καὶ μὴν Κάνωβον κἀπὶ Μέμφιν ἵκετο.
309 ⟨ΠΕ.⟩ τοῖ γάρ νιν ἐκ γῆς ἤλασεν μακρῶι δρόμωι;
313 ⟨ΧΟ.⟩ καὶ Ζεύς γ' ἐφάπτωρ χειρὶ φιτύει γόνον.
⟨ΠΕ.⟩ τί⟨ς⟩ οὖν ὁ Δῖος πόρτις εὔχεται βοός;
315 ⟨ΧΟ.⟩ Ἔπαφος, ἀληθῶς ῥυσίων ἐπώνυμος.
⟨ΠΕ. . . . .;⟩

299 βού⟦νί⟧την M: corr. Canter, Portus[2]   300 οὔκουν Schütz[2]   ἔτ' Schütz[6]: ἐπ' M   301 φασὶν M   πρέποντασ M: corr. Turn.   302 δὴ M: corr. Vict.   ταῦταλόχοισχυραδιοσ M: corr. Turn., Rob. (ἄλοχος), Pauw   306 ἔτευξ' ἔτ' Robertson[3] 34: ἔτευξε δ' M: ἔτευξεν Arsenius   306a/7 versum traditum in duos divisi, e.g. supplevi (306a cf. 557): post eum lac. stat. Dind.[4]   308 πέλας Turn.: πέδασ M, mg. οἶμαι παῖδες M[s]   310.311.309 hoc ordine Rose: 309.311.310 Gilbert[2] 302   310 ναί· ταῦτ' Schütz[2]   309 τοῖ γάρ sic M ('illuc' intelligo, cf. Aeschyli τόθεν, τώς): τοιγάρ intell. Σ (διὸ): τῶι γάρ Burges[4] 185: τῆι γάρ Tucker[2]   ἐκ τῆσ M: corr. Portus[2], nisi αἴας reponendum ('illuc terrarum')   312 nullus est   313 φυτεύει M: corr. Scal.[2], anon.[3]   314 τί M: corr. Arsenius   316 versum deesse vidit Stanley[1]: ⟨Ἐπάφου δὲ τίς ποτ' ἐξεγεννήθη πατρός;⟩ e.g. Bothe[2]

⟨ΧΟ.⟩ Λιβύη, μέγιστον γῆς ⟨◡ –⟩ καρπουμένη.
⟨ΠΕ.⟩ τίν' οὖν ἔτ' ἄλλον τῆσδε βλαστημὸν λέγεις;
⟨ΧΟ.⟩ Βῆλον δίπαιδα, πατέρα τοῦδ' ἐμοῦ πατρός.
320 ⟨ΠΕ.⟩ τὸ πάνσοφον νῦν ὄνομα τούτο⟨υ⟩ μοι φράσον.
⟨ΧΟ.⟩ Δαναός· ἀδελφὸς δ' ἐστι πεντηκοντάπαις –
⟨ΠΕ.⟩ καὶ τοῦδ' ἄνοιγε τοὔνομ' ἀφθόνωι λόγωι.
⟨ΧΟ.⟩ Αἴγυπτος. εἰδὼς δ' ἁμὸν ἀρχαῖον γένος
πράσσοις ἄν, ὡς 'Αργεῖον ἀνστήσας στόλον.
325 ⟨ΠΕ.⟩ δοκεῖτε ⟨μέν⟩ μοι τῆσδε κοινωνεῖν χθονός
τἀρχαῖον. ἀλλὰ πῶς πατρῶια δώματα
λιπεῖν ἔτλητε; τίς κατέσκηψεν τύχη;
⟨ΧΟ.⟩ ἄναξ Πελασγῶν, αἰόλ' ἀνθρώπων κακά,
πόνου δ' ἴδοις ἂν οὐδαμοῦ ταὐτὸν πτερόν.
330 ἐπεὶ τίς ηὔχει τήνδ' ἀνέλπιστον φυγὴν
κέλσειν ἐς Ἄργος κῆδος ἐγγενὲς τὸ πρίν,
ἔχ⟨θ⟩ει μεταπτοηθὲν εὐναίων γάμων;
⟨ΠΕ.⟩ τί φὴις ἱκνεῖσθαι τῶνδ' ἀγωνίων θεῶν
λευκοστεφεῖς ἔχουσα νεοδρέπτους κλάδους;
335 ⟨ΧΟ.⟩ ὡς μὴ γένωμαι δμωῒς Αἰγύπτου γένει.

327 (κατέσκ.) Phot., Sud. κ 990 330 cf. Hsch. η 982, Phot. s. ηὖχεν

---

317 ⟨μέρος⟩ Todt[3] 25, Tucker[2]: ⟨λάχος⟩ Zakas: ⟨πέδον⟩ Burges[4] 185: ⟨θέρος⟩ Dawe[4] 318 βλάστημον M: corr. Lobeck[3] 397 320 νυν Paley[1] τούτου Portus[2]: τοῦτό M 321 ἀδελφὸς δ' Scal.[2]: δ'ἀδελφόσ M πεντηκοντάπαις Heath (-κοντόπαις Arsenius): πεντηκοστόπαισ M. cf. ad Prom. 853 322 τοῦ δαναόιγε M: corr. Porson[1] 323 δ'εἰδὼσ δ' M: corr. Turn. 324 ἀντήσασ M[s mg]: ἀνστῆσαι Marckscheffel 184: ἀνστήσων Headlam (ms.) 325 ⟨μέν⟩ Zakas: ⟨δή⟩ Turn.: ἔμοι⟨γε⟩ Porson[1] 327 λειπεῖν M: corr. M[2] Mb Mc 329 πτερόν Turn.: πότερον M 331 κέλσειεν M: corr. Rob., Turn. ⟨μ'⟩ ἐς Schütz[6] 332 ἔχθει Turn.: ἔχει M μεταπτοηθὲν West[7]: μετὰ πτοίουσαν M 334 νεοδρέπτοισ κλάδοισ M[a]

ΠΕ. πότερα κατ' ἔχθραν, ἢ τὸ μὴ θέμις λέγεις;
⟨ΧΟ.⟩ τίς δ' ἂν φιλοῦσ' ὄνοιτο τοὺς κεκτημένους;
⟨ΠΕ.⟩ σθένος μὲν οὕτω μεῖζον αὔξεται βροτοῖς.
⟨ΧΟ.⟩ καὶ δυστυχο⟨ύ⟩ντων γ' εὐμαρὴς ἀπαλλαγή.
340 ΠΕ. πῶς οὖν πρὸς ὑμᾶς εὐσεβὴς ἐγὼ πέλω;
ΧΟ. αἰτοῦσι μὴ 'κδοὺς παισὶν Αἰγύπτου πάλιν.
ΠΕ. βαρέα σύ γ' εἶπας, πόλεμον ἄρασθαι νέον.
ΧΟ. ἀλλ' ἡ Δίκη γε ξυμμάχων ὑπερστατεῖ.
ΠΕ. εἴπέρ γ' ἀπ' ἀρχῆς πραγμάτων κοιν⟨ων⟩ὸς ἦι.
345 ΧΟ. αἰδοῦ σὺ πρύμναν πόλεος ὧδ' ἐστεμμένη⟨ν⟩.
⟨ΠΕ.⟩ πέφρικα λεύσ⟨σ⟩ων τάσδ' ἕδρα⟨ς⟩ κατασκίους·
βαρύς γε μέντοι Ζηνὸς ἱκεσίου κότος.

ΧΟ. Παλαίχθονος τέκος, κλῦθί μου — str. 1
πρόφρονι καρδίαι, Πελασγῶν ἄναξ.
350 ἴδε με τὰν ἱκέτιν φυγάδα περίδρομον,
λυκοδί⟨ω⟩κτον ὡς δάμαλιν ἀμ πέτραις
ἠλιβάτοις, ἵν' ἀλ-
κᾶι πίσυνος μέμυκε φρά-
ζουσα βοτῆρι μόχθους.

337 φιλοῦσ' Bamberger[3] 883/111: φίλουσ M ὄνοιτο Rob. (involuntarie, v. McCall[3]): ὤνοιτο M (et in Σ): ὠνοῖτο Turn. post h. v. versus complures deesse ci. Wil.[18] 14; sin autem nihil deest, οὕτως 338 = κεκτῆσθαι γυναῖκα καὶ μὴ φιλοῦσαν 338 οὕτω Turn.: οὕτως M 339 δυστυχόντων M: corr. Ma γ' Turn.: τ' M[s]: om. M[a] 341 μὴ 'κδοὺς Schütz[2]: μὴκδῶισ M 342 αἴρασθαι M (-εσθαι Mc): corr. Ma 344 οἶσπέρ Tucker[2] κοινὸσ M (ὸσ ἦ i. r.): corr. Sophianus, Turn. ἦι West[7]: ἦν M(Σ?) 345 πόλεωσ M: corr. Turn. ἐστεμμένη M: corr. Rob., Turn. 346 paragr. suppl. Arsenius πέφρικα Rob.: πέφυκα M τὰσδέδρα M (δέδρας Mb): corr. Rob. 347 choro trib. Turn. 348 τόκοσ M[as] 350 με τὰν Steph.: μέγαν M ἱκέτην M[a] πρόδρομον Heimsoeth[1] 287 cl. Sept. 211. Soph. Ant. 108 351 λευκόδικτον M: corr. Hermann[24] 340 ἠλιβάτοισιν M: divisit Valckenaer[1] ad Pho. 215 ἀλιβ- Dind.[4]

ΠΕ. ὁρῶ κλάδοισι νεοδρόποις κατάσκιον
355 †νέονθ'† ὅμιλον τῶνδ' ἀγωνίων θεῶν·
εἴη δ' ἄνατον πρᾶγμα τοῦτ' ἀστοξένων,
μηδ' ἐξ ἀέλπτων κἀπρομηθήτων πόλει
νεῖκος γένηται· τῶν γὰρ οὐ δεῖται πόλις.

ΧΟ. ἴδοιτο δῆτ' ἄνατον φυγὰν ant. 1
360 ἱκεσία Θέμις Διὸς κλαρίου.
σὺ δὲ παρ' ὀψιγόνου μάθε γεραιόφρων·
ποτιτρόπαιον αἰδόμενος οὐ λιπερ-
⟨νὴς ⏑ ⏑ – ⏑ –⟩
†ἱεροδόκα† θεῶν
λήματ' ἀπ' ἀνδρὸς ἁγνοῦ.
365 ΠΕ. οὔτοι κάθησθε δωμάτων ἐφέστιοι
ἐμῶν. τὸ κοινὸν δ' εἰ μιαίνεται πόλις,
ξυνῆι μελέσθω λαὸς ἐκπονεῖν ἄκη.
ἐγὼ δ' ἂν οὐ κραίνοιμ' ὑπόσχεσιν πάρος,
ἀστοῖς δὲ πᾶσι τῶνδε κοινώσας πέρι.

355 cf. Hsch. ν 116, Phot. s. ναύειν? 356 (ἀστοξ.) cf. Poll. 3.59–60, Hsch. α 7877, Phot. α 3013, AB 456.5 (Ael. Dion. α 189, Paus. Att. α 163)

---

355 νεύονθ' Bamberger[3] 883/111: ναίονθ' Musgrave: ναύονθ' Wecklein[3] 83 cl. Hsch. Phot. ναύειν· ἱκετεύειν. cf. ad 503. ὅμιλος supplicum videtur esse, non deorum τόνδ' Hermann[32]: (νέον θ' ...) τόν τ' Harberton[1] 357 πόλει M 359 δῆτ' Pauw: δῆτα τὰν M: τάνδ' Dobree[3] 21/17 361 γεραιόφρων Burges[4] 187: γεραφρόνων M, ὁ γέρων Σ: γερα⟨ρὰ⟩ φρονῶν Marckscheffel 170 362 sq. οὐ λιπερ⟨νὴς Headlam[3] 76, λιπερ⟨νῆτα βίον ποθ' ἕξεις idem: οὖν περ in fine versus M, οὐ πτωχεύσεις Σ lac. stat. Heath; satisfaciat e.g. λιπερ⟨νὴς ἀγαθῶν (Page[3]) κυρή|σεις·⟩ ἱεραδοκεῖ vel ἱεραδόκ' ⟨οἶδα⟩ 367 ἐκπνοεῖν M: corr. Turn. 368 πάρος Sophianus, Turn.: παρακροσ M 369 ἀστῶν ... τοῖσδε M: corr. Bourdelot (τῶνδε iam Portus[2], Scal.[2])

370 ΧΟ. σύ τοι πόλις, σὺ δὲ τὸ δάμιον· str. 2
πρύτανις ἄκριτος ὢν
κρατύνεις βωμόν, ἑστίαν χθονός,
μονοψήφοισι νεύμασιν σέθεν,
μονοσκήπτροισι δ' ἐν θρόνοις χρέος
375 πᾶν ἐπικραίνεις· ἄγος φυλάσσου.
ΠΕ. ἄγος μὲν εἴη τοῖς ἐμοὶ παλιγκότοις,
ὑμῖν δ' ἀρήγειν οὐκ ἔχω βλάβης ἄτερ.
οὐδ' αὖ τόδ' εὔφρον, τάσδ' ἀτιμάσαι λιτάς.
ἀμηχανῶ δὲ καὶ φόβος μ' ἔχει φρένας
380 δρᾶσαί τε μὴ δρᾶσαί τε καὶ τύχην ἑλεῖν.

ΧΟ. τὸν ὑψόθεν σκοπὸν ἐπισκόπει, ant. 2
φύλακα πολυπόνων
βροτῶν οἳ τοῖς πέλας προσήμενοι
δίκας οὐ τυγχάνουσιν ἐννόμου.
385 μένει τοι Ζηνὸς ἱκταίου κότος,
δυσπαράθελκτος παθόντος οἴκτοις.
⟨ΠΕ.⟩ εἴ τοι κρατοῦσι παῖδες Αἰγύπτου σέθεν
νόμῳ πόλεως, φάσκοντες ἐγγύτατα γένους
εἶναι, τίς ἂν τοῖς ἀντιωθῆναι θέλοι;
390 δεῖ τοί σε φεύγειν κατὰ νόμους τοὺς οἴκοθεν,
ὡς οὐκ ἔχουσιν κῦρος οὐδὲν ἀμφὶ σοῦ.

370 δάμιον Dind.[12]: δήμιον M 373 νεύμασι M: corr. Pauw 374 ἐν χρόνοισι M: corr. Sophianus (θρόνοισι), Pauw 375 ἄλγοσ M: corr. Arsenius 376 ἐμοὶ Paley[2]: ἐμοῖσ M 379 fort. δὴ 380 μηδράσητε M: corr. apogrr. (μὴ Ma, δρᾶ- Mb, -σαι Md) 381 ἐπισκοπεῖ M: corr. Rob., Turn. 386 ὦ δυσπαρθέλκτοισ M, mg. δυσπαρθενήτοισ M[s]: corr. Schütz[2] 389 τίσ δ'ἂν M: corr. Turn. τοῖσ M, δ' add. M[s] θέλει (οι supra) M

ΧΟ. μή τί ποτ' οὖν γενοίμαν ὑποχε⟨ί⟩ριος — str. 3
κράτεσιν ἀρσένων· ὕπαστρον δέ τοι
μῆχαρ ὁρίζομαι γάμου δύσφρονος
395 φυγάν. ξύμμαχον δ' ἑλόμενος Δίκαν
κρῖνε σέβας τὸ πρὸς θεῶν.
ΠΕ. οὐκ εὔκριτον τὸ κρῖμα· μὴ ἔμ' αἱροῦ κριτήν.
εἶπον δὲ καὶ πρίν, οὐκ ἄνευ δήμου τάδε
πράξαιμ' ἄν, οὐδέ περ κρατῶν, μὴ καί ποτε
400 εἴπηι λεώς, εἴ πού τι μὴ λῶιον τύχοι,
"ἐπήλυδας τιμῶν ἀπώλεσας πόλιν".

ΧΟ. ἀμφοτέρους ὁμαίμων τάδ' ἐπισκοπεῖ — ant. 3
Ζεύς, ἑτερορρεπής, νέμων εἰκότως
ἄδικα μὲν κακοῖς, ὅσια δ' ἐννόμοις.
405 τί τῶνδ' ἐξ ἴσου ῥεπομένων †μεταλ-
γεῖς† τὸ δίκαιον ἔρξαι;

ΠΕ. δεῖ τοι βαθείας φροντίδος σωτηρίου,
δίκην κολυμβητῆρος εἰς βυθὸν μολεῖν
δεδορκὸς ὄμμα μηδ' ἄγαν ὠινωμένον,
410 ὅπως ἄνατα ταῦτα πρῶτα μὲν πόληι,
αὐτοῖσί θ' ἥμιν ἐκτελευτήσει καλῶς,

392 sq. γενοίμαν γ' vel κράτεσί γ' Denniston[1] 213 ὑποχέριοσ M: corr. Rob., Turn. 395 φυγάν Heath: φυγαί M 397 κρίμα M[a]: κρεῖμα Wackernagel[5] 76 n. 1: χρῆμα anon.[5]: πρᾶγμα Maas[1], cf. Eum. 470 μήμ' M: corr. Tucker[2] (μὴ'μ') 399 μὴ καί Canter: καὶ μή M 400 τι καὶ μὴ M: corr. Turn. λῶιον Schneidewin[2] 153 (cf. Pers. 526): τοῖον M (eadem corruptela Solon. 20.2) τυχθῆ M: corr. Porson[1] 401 εἰπήλυδασ M: corr. Rob., Turn. 402 ἀμφοτέρωσ' Burges[4] 187: -οις Schütz[2] 405 τῶν δεξισ οὐ M: corr. Vict. τί ἀπορεῖς συμμαχῆσαι τῶι Διί Σ: μεγαίρεις Stadtmüller: ἔτ' ἀργεῖς Musgrave: γε μέλλεις Italie 180 b: μεταλγὲς Sidgwick[4] 409 ωνωμένων M: corr. Salvini (-μένον iam Turn.) 410 πόλει M 411 ἡμῖν M

καὶ μήτε Δῆρις ῥυσίων ἐφάψεται
μήτ' ἐν θεῶν ἕδρασιν ὧδ' ἱδρυμένας
ἐκδόντες ὕμας τὸν πανώλεθρον θεόν
415 βαρὺν ξύνοικον θησόμε⟨σ⟩θ' Ἀλάστορα,
ὃς οὐδ' ἐν Ἅιδου τὸν θανόντ' ἐλευθεροῖ.
μῶν οὐ δοκεῖ δεῖν φροντίδος σωτηρίου;

ΧΟ. φρόντισον καὶ γενοῦ πανδίκως — str. 4
εὐσεβὴς πρόξενος·
420 τὰν φυγάδα μὴ προδῷις,
τὰν ἕκαθεν ἐκβολαῖς
δυσθέοις ὀρομέναν·

μηδ' ἴδηις μ' ἐξ ἑδρᾶν πολυθέων — ant. 4
ῥυσιασθεῖσαν, ὦ
425 πᾶν κράτος ἔχων χθονός·
γνῶθι δ' ὕβριν ἀνέρων
καὶ φύλαξαι κότον.

μή τι τλᾶις τὰν ἱκέτιν εἰσιδεῖν — str. 5
430 ἀπὸ βρετέ͜ων βίαι δίκας ἀγομέναν
ἱππαδὸν ἀμπύκων,
πολυμίτων πέπλων τ' ἐπιλαβὰς ἐμῶν.

413 ἕδραισιν M 414 ὑμᾶσ M 415 θησόμεθ' M: corr. Vict. 416 ὃς Steph.: ὢσ M οὐδ' ἐν Asul.: οὐδὲν M 417 δοκεῖν δεῖ M: corr. Turn. 420 προδούς Tucker[2] 422 ὁρμέναν Pauw 423 πανθέων Heimsoeth[1] 287 428 τλᾶις τὰν Wellauer[2] (τλῆις Turn.): τ'ἀαῖσταν M, mg. ζτ οἶμαι μητι τλαίησ τὰν ἱκέτιν M[s], τλαίης et Σ 431 ἱππηδὸν (ex -ών) M: corr. Voss 432 πολυμήτων M: corr. Turn. τ' ἐμῶν ἐπιλαβὰς πέπλων Johansen[3] 31

ἴσθι γάρ· παισὶ τάδε καὶ δόμοις, ant. 5
435 ὁπότερ' ἂν κτίσῃς, μένει †δρεικ†τίνειν
ὁμοίαν θέμιν.
τάδε φράσαι. δίκαια Διόθεν κρατεῖ.

ΠΕ. καὶ δὴ πέφρασμαι· δεῦρο δ' ἐξοκέλλεται·
ἢ τοῖσιν ἢ τοῖς πόλεμον αἴρεσθαι μέγαν
440 πᾶσ' ἔστ' ἀνάγκη· καὶ γεγόμφωται σκάφος
στρέβλησι ναυτικῆσιν ὡς προσηγμένον,
ἄνευ δὲ λύπης οὐδαμοῦ καταστροφή.
καὶ χρήμασιν μὲν ἐκ δόμων πορθουμένοις
445 γένοιτ' ἂν ἄλλα κτησίου Διὸς χάριν
444 ἄτης γε μείζω, καὶ μετεμπλῆσαι γόμον·
καὶ γλῶσσα τοξεύσασα μὴ τὰ καίρια,
448 ἀλγεινὰ θυμοῦ κέντρα κινητήρια,
447 γένοιτο μύθου μῦθος ἂν θελκτήριος·
ὅπως δ' ὅμαιμον αἷμα μὴ γενήσεται,
450 δεῖ κάρτα θύειν καὶ πεσεῖν χρηστήρια
θεοῖσι πολλοῖς πολλά, πημονῆς ἄκη.

441 cf. Hsch. σ 1976

---

434 ὁποτέραν M: corr. Turn. 435 δρεικτείνειν M, δρεικτίνειν Mc: ἄρ' ἐκτίνειν Abresch II 165, Ἄρει 'κτίνειν Seidler[1] 12, uterque cum correptione insolita: δορὶ τίνειν Boissonade: · δεῖ 'κτίνειν Whittle[6]: fort. χρέα τίνειν (Bücheler[3] 84/212, χρέᾰ epice) immixtis litteris δικ(ην) ad θέμιν spectantibus (cf. Σ) 437 κρατεῖ Whittle[5] 36 (-εῖν Tucker[2]): κράτη M 439 ἄρασθαι Wecklein[11], cf. ad 342 441 στρέβλαισι ναυτικαῖσιν M 443 χρημάτων M[s mg] (gl. ad πορθουμένων u. v.) πορθουμένοις Voss: -μένων M 445 ante 444 trai. Casaub.[1] 444 ἄτης ... γόμον Σ: ἄτην ... γόμου M μετεμπλῆσαι Murray[1] (μετ- iam Droysen 227, ἐμπλῆσαι Stanley[1]): μέγ' ἐμπλήσασ M 448 ante 447 trai. Casaub.[1] κέντρα Hartung: κάρτα (450.452) M 447 θελκτηρίοισ M: corr. Mc[a], Arsenius 449 ὁμαίμων M, ὁμαῖμον M[s]: corr. Vict.

ἦ κάρτα νείκους τοῦδ' ἐγὼ παροίχομαι·
θέλω δ' ἄϊδρις μᾶλλον ἢ σοφὸς κακῶν
εἶναι· γένοιτο δ' εὖ παρὰ γνώμην ἐμήν.
455 ⟨ΧΟ.⟩ πολλῶν ἄκουσον τέρματ' αἰδοίων λόγων.
ΠΕ. ἤκουσα, καὶ λέγοις ἄν· οὔ με φεύξεται.
ΧΟ. ἔχω στρόφους ζώνας τε, συλλαβὰς πέπλων.
⟨ΠΕ.⟩ τάχ' ἂν γυναικῶν ταῦτα συμπρεπῆ πέλοι.
⟨ΧΟ.⟩ ἐκ τῶνδε τοίνυν, ἴσθι, μηχανὴ καλή.
460 ΠΕ. λέξον τίν' αὐδὴν τήνδε γηρυθεῖσ' ἔσηι.
ΧΟ. εἰ μή τι πιστὸν τῶιδ' ὑποστήσηι στόλωι –
⟨ΠΕ.⟩ τί σοι περαίνει μηχανὴ ξυζωμάτων;
ΧΟ. νέοις πίναξιν βρέτεα κοσμῆσαι τάδε.
ΠΕ. αἰνιγματῶδες τοὔπος· ἀλλ' ἁπ⟨λ⟩ῶς φράσον.
465 ΧΟ. ἐκ τῶνδ' ὅπως τάχιστ' ἀπάγξασθαι θεῶν.
ΠΕ. ἤκουσα μαστῖκτῆρα καρδίας λόγον.
ΧΟ. ξυνῆκας· ὠμμάτωσα γὰρ σαφέστερον.
467a ⟨ΠΕ.⟩ καὶ μὴν ⟨. . . . .
καὶ⟩ πολλαχῆι γε δυσπάλαιστα πράγματα.
κακῶν δὲ πλῆθος ποταμὸς ὣς ἐπέρχεται·
470 ἄτης δ' ἄβυσσον πέλαγος οὐ μάλ' εὔπορον
τόδ' εἰσ⟨β⟩έβηκα, κοὐδαμοῦ λιμὴν κακῶν.

457 (ζώνας –) Hsch. ζ 233

452 ἦ Turn.: ἢ M 457 στρόβουσ M: corr. Portus[2], Scal.[2], cf. Σ 458 τάχ' ἂν Marckscheffel 171: τύχαν M γυναικὶ Hermann[32], -ξὶν Wecklein[11] συμπρέποι πέπλοις Hartung, στολῆι Weil[10], γένει F. W. Schmidt 23 459 καλή Mb[a], Turn.: καλεῖ M 460 γηρυθεὶσ M: corr. Rob., Turn. 461 ὑπὸστήσει M: corr. Whittle[6]: ὑποστήσεις Burges[4] 188 462 ξυζ- Porson[1]: συζ- M 464 ἀλλὰ πῶσ M: corr. Abresch II 169 cl. Prom. 610 al. 466 μαστικτῆρα anon.[1], cf. Σ δηκτικόν: μακιστῆρα M (ex Pers. 698) 467a/8 lac. stat. Sulzberger 139: ἦ pro καὶ μὴν Paley[6]. cum desit paragraphus, possis 467a choro continuare, 468 legere (Πε.) ⟨ἦ⟩ πολλαχῆι κτλ. 471 ἐσέβηκα M: corr. Spanheim[2] (ἐσβ-; ἐσβέβηκε Turn.)

εἰ μὲν γὰρ ὑμῖν μὴ τόδ' ἐκπράξω χρέος,
μίασμ' ἔλεξας οὐχ ὑπερτοξεύσιμον·
εἰ δ' αὖθ' ὁμαίμοις παισὶν Αἰγύπτου σέθεν
475 σταθεὶς πρὸ τειχέων διὰ μάχης ἥξω τέλους,
πῶς οὐχὶ τἀνάλωμα γίγνεται πικρόν,
ἄνδρας γυναικῶν οὕνεχ' αἱμάξαι πέδον;
ὅμως δ' ἀνάγκη Ζηνὸς αἰδεῖσθαι κότον
ἱκτῆρος· ὕψιστος γὰρ ἐν βροτοῖς φόβος.
480 σὺ μέν, πάτερ γεραιὲ τῶνδε παρθένων,
⟨. . . . .⟩
κλάδους τε τούτους αἶψ' ἐν ἀγκάλαις λαβὼν
βωμοὺς ἐπ' ἄλλους δαιμόνων ἐγχωρίων
θές, ὡς ἴδωσι τῆσδ' ἀφίξεως τέκμαρ
πάντες πολῖται, μηδ' ἀπορρῖφθῆι λόγος
485 ἐμοῦ κάτ'· ἀρχῆς γὰρ φιλαίτιος λεώς.
καὶ γὰρ τάχ' ἄν τις οἰκτίσας ἰδὼν τάδε
ὕβριν μὲν ἐχθήρειεν ἄρσενος στόλου,
ὑμῖν δ' ἂν εἴη δῆμος εὐμενέστερος·
τοῖς ἥσσοσιν γὰρ πᾶς τις εὐνοίας φέρει.
490 ⟨ΔΑ.⟩ πολλῶν τάδ' ἡμῖν ἐστιν ἠξιωμένα,
αἰδοῖον εὑρεθέντα πρόξενον λαβεῖν.
ὀπάονας δὲ φράστοράς τ' ἐγχωρίων
ξύμπεμψον, ὡς ἂν τῶν πολισσούχων θεῶν
βωμοὺς προνάους καὶ †πολισσούχων† ἕδρας

485 cf. Hsch. φ 450

---

474 ὁμαίμουσ M: corr. Turn. 480 paragr. M lac. stat Butler: ⟨ἴθ' ὡς τάχιστα τήνδ' ἐρημώσας ἕδραν⟩ Hermann[32] 484 ψόγος Conington[5] ad Cho. 989 485 ἐμοῦ· καταρχῆσ M: corr. Headlam[10] 486 οἰκτίσας ἰδὼν Linwood[1] 237: οἶκτοσ εἰσιδὼν M 491 εὑρεθέντα Porson[1]: εὑρ'ἐόντα M[a], εὖ ῥέοντα M[s]: ἐν δέοντι Burges[8] προσξένον M: corr. Canter 494 πολισσούχων ex -ουσ M: πολυστεφεῖς Butler

495 εὕρωμεν, ἀσφάλεια δ' ἦι δι' ἄστεως
στείχουσι. μορφῆς δ' οὐχ ὁμόστολος φύσις·
Νεῖλος γὰρ οὐχ ὅμοιον Ἰνάχωι γένος
τρέφει. φύλαξαι μὴ θράσος τέκηι φόβον·
καὶ δὴ φίλον τις ἔκταν' ἀγνοίας ὕπο.
500 ΠΕ. στείχοιτ' ἄν, ἄνδρες· εὖ γὰρ ὁ ξένος λέγει.
ἡγεῖσθε βωμοὺς ἀστικοὺς θεῶν ⟨θ'⟩ ἕδρας·
καὶ ξυμβολοῦσιν οὐ πολυστομεῖν χρεὼν
ναύτην ἄγοντας τόνδ' ἐφέστιον θεῶν.

ΧΟ. τούτωι μὲν εἶπας, καὶ τεταγμένος κίοι·
505 ἐγὼ δὲ πῶς δρῶ; ποῦ θράσος νέμεις ἐμοί;
ΠΕ. κλάδους μὲν αὐτοῦ λεῖπε, σημεῖον πόνου.
⟨ΧΟ.⟩ καὶ δή σφε λείπω, χειρία λόγοις σέθεν.
⟨ΠΕ.⟩ λευρὸν κατ' ἄλσος νῦν ἐπιστρέφου τόδε.
⟨ΧΟ.⟩ καὶ πῶς βέβηλον ἄλσος ἂν ῥύοιτό με;
510 ⟨ΠΕ.⟩ οὔτοι πτερωτῶν ἁρπαγαῖς ⟨σ'⟩ ἐκδώσομεν.
⟨ΧΟ.⟩ ἀλλ' εἰ δρακόντων δυσφρόνων ἐχθίοσιν;
⟨ΠΕ.⟩ εὔφημον εἴη τοὔπος εὐφημουμένηι.
⟨ΧΟ.⟩ οὔτοί τι θαῦμα δυσφορεῖν φόβωι φρενός.
⟨ΠΕ.⟩ αἰεὶ δ' †ἀνάκτων† ἐστὶ δεῖμ' ἐξαίσιον.

495 ἀσφαλείασ δὲ δι' M: corr. Turn. ἄστεω̊σ M (ss. M[s]) **498** φόβον ΣM: φόνον vel φόβος Pauw **501** ἀστίκτουσ M: corr. Turn. ⟨θ'⟩ Abresch II 176, cf. 494 **502** ξυμβόλοισιν M: corr. Valckenaer[0], cf. Σ **503** ναυ(σ)τὴν vel ναυστῆρ' Wecklein[3] 84 cl. Hsch. ναυστῆρες· οἱ οἰκέται (l. ἱκέται, cf. ad 355) **504** κίει Portus[3] **505** νεμεῖς Porson[1] **507** χειρία Valckenaer[6]: χειρὶ καὶ M. cf. Eur. Andr. 411 **508** ἐπιστρέφω M: corr. Rob. **509** ἂν ἄλσοσ M, corr. M[s]: ἂν πέδον Weil[10] **510** ἅρπαγεσ M: corr. Turn. ⟨σ'⟩ Porson[1] **513** οὔτοι με Blaydes[8] 33 φρένας Bothe[1] **514** ἀεὶ δ' M: ἀεί γ' Dind.[12]: παύειν δ' Johansen[2]: λύειν δ' Garvie[3] δ' ἀνάλκτων West[7]: δ' ἐπακτῶν id.[1]: γυναικῶν Linwood[3] 133

515 ⟨ΧΟ.⟩ σὺ καὶ λέγων εὔφραινε καὶ πράσσων φρένα.
⟨ΠΕ.⟩ ἀλλ' οὔτι δαρὸν χρόνον ἐρημώσει πατήρ.
ἐγὼ δὲ λαοὺς ξυγκαλῶν ἐγχωρίους
στείχω, τὸ κοινὸν ὡς ἂν εὐμενὲς τιθῶ·
καὶ σὸν διδάξω πατέρα ποῖα χρὴ λέγειν.
520 πρὸς ταῦτα μίμνε καὶ θεοὺς ἐγχωρίους
λιταῖς παραιτοῦ τῶν σ' ἔρως ἔχει τυχεῖν.
ἐγὼ δὲ ταῦτα πορσυνῶν ἐλεύσομαι·
πειθὼ δ' ἕποιτο καὶ τύχη πρακτήριος.

ΧΟ. ἄναξ ἀνάκτων, μακάρων — str. 1
525 μακάρτατε καὶ τελέων
τελειότατον κράτος, ὄλβιε Ζεῦ,
πιθοῦ τε καὶ γένει σῶι
ἄλευσον ἀνδρῶν ὕβριν εὖ στυγήσας·
λίμναι δ' ἔμβαλε πορφυροειδεῖ
530 τὰν μελανόζυγ' ἄταν.

τὸ πρὸς γυναικῶν ⟨δ'⟩ ἐπιδών, — ant. 1
παλαίφατον ἁμετέρου
γένους φιλίας προγόνου γυναικός
νέωσον εὔφρον' αἶνον·
535 γενοῦ πολυμνῆστορ, ἔφαπτορ Ἰοῦς.

515 λέγων ⟨μ'⟩ Johansen[2] φρένα Heath: φρενί M 516 οὔ σε Lincke 231 ἐρημώσηι πατρός Paley[2] (-σει), Johansen[2] 517 ξυγ- Porson[1]: συγ- M 518–20 om. M (homoeoteleuton), mg. rest. M[s] 518 στείχω Weil[10]: πιετω M[s]: σπεύσω Martin[2] 19 519 τοῖα M[s]: corr. Arsenius 522 πορσύνων M: corr. Aur.[3] 527 πιθοῦ Stanley[2]: πείθου M γένει σῶι Lobeck[1] ad Ai. 400: γενέσθω M 529 λίμναν ... πορφυροειδῆ M[a] 531 ⟨δ'⟩ Tucker[2] praeeunte Wecklein[11] 532–3 ἁμετέρου γένους Weil[10]: ἀμέτερον γένοσ M 535 γονεῦ Rogers 14 contra Σ πολυμνῆστορ Hermann[18] 232 (-μνᾶ- Dind.[12]), cf. Wackernagel[6] I 308: -μνήστωρ ΣM duriore rhythmo ἐφάπτωρ ΣM: corr. Askew[2]

Δῖαί τοι γένος εὐχόμεθ' εἶναι
γᾶς ἀπὸ τᾶσδ' ἐνοίκου.

παλαιὸν δ' εἰς ἴχνος μετέσταν, str. 2
ματέρος ἀνθονόμους ἐπωπάς,
540 λειμῶνα βούχιλον, ἔνθεν Ἰὼ
οἴστρωι ἐρεθομένα
φεύγει ἁμαρτίνοος,
πολλὰ βροτῶν διαμειβομένα
φῦλα· †διχῆι† δ' ἀντίπορον
545 γαῖαν †ἐν αἴσαι†, διατέμνουσα πόρον
κυματίαν, ὁρίζει·

ἰάπτει δ' Ἀσίδος δι' αἴας ant. 2
μηλοβότου Φρυγίας διαμπάξ·
περᾶι δὲ Τεύθραντος ἄστυ Μυσῶν
550 Λύδιά τε γύαλα,
καὶ δι' ὀρῶν Κιλίκων,
Παμφύλων τε {γένη} διορνυμένα
γᾶν ποταμοὺς τ' αἰενάους
καὶ βαθύπλουτον χθόνα, καὶ τὰν Ἀφροδί-
555 τας πολύπυρον αἶαν.

536 Δῖαί Pauw: δίασ ΣΜ: οἵας Headlam[0] 537 ἐνοίκου Headlam[6] 192: ἔνοικοι M: ἄποικοι Schütz[2] (cf. Prom. 814) 539 fort. ἀνθονόμους ⟨τ'⟩ (sublato commate post μετέσταν) 541 ἐρεθομένα Paley[1] (ad metrum cf. 843 sq.): ἐρεσσομένα M, ἐλαυνομένη Σ 544 sq. fort. δύαι ... ἐν ἀικεῖ 545 διατέμνοντα Wil.[19] 547 βασίδοσ M: corr. Turn. 549 μυσῶν Md: μουσῶν M: Μυσόν Paley[1]: Μυσοῦ Newman[1] 33 550 λύγια M: corr. Turn. τ' ἀγ γύαλα Hermann[32], cf. 541 551 ὅρων M[s], ὁρῶν M[a] u. v.: ὀρῶν Mc 552 γένη del. Heath 553 γᾶν Wecklein[11]: τὰν M: γᾶς Burges[8]: πὰρ Rob. τ' Portus[3]: δ' M: om. Mc ἀεν[[ν]]άουσ M 554 τὰν Hermann[32]: τᾶσ M ἀφροδίτησ M: corr. Turn.

ἱκνεῖται δ', εἰσικνουμένου βέλει — str. 3
βουκόλου πτερόεντος,
Δῖον πάμβοτον ἄλσος,
λειμῶνα χιονόβοσκον, ὅντ' ἐπέρχεται
560 Τυφῶ μένος
ὕδωρ τε Νείλου νόσοις ἄθικτον,
μαινομένα πόνοις ἀτί-
μοις ὀδύναις τε κεντροδα-
λήτισι, θυιὰς Ἥρας.

565 βροτοὶ δ' οἳ γᾶς τότ' ἦσαν ἔννομοι — ant. 3
χλωρῶι δείματι θυμόν
πάλλοντ' ὄψιν ἀήθη,
βοτὸν †ἐσορῶντες† δυσχερὲς μειξόμβροτον,
τὰ μὲν βοός,
570 τὰ δ' αὖ γυναικός· τέρας δ' ἐθάμβουν.
καὶ τότε δὴ τίς ἦν ὁ θέλ-
ξας πολύπλαγκτον ἀθλίαν
οἰστροδόνητον Ἰώ;

δι' αἰῶνος κρέων ἀπαύτου — str. 4
575 ⟨– × – ∪ ∪ – –⟩·

557 sch. rec. Ar. Nub. 1202b?

556 εἰσικνουμένου (-ου i.r.) M, αὐτὴν διατρυπῶντος Σ 557 πτερόεντι sch. Ar. dedisse ci. Koster 559 χηνοβοσκὸν Paley[5] cl. Hdt. 2.72 (contra Σ) 561 ὕδωρ] γάνος Weil[10] τε Pauw: τὸ ΣM 563 κεντροδαλήτισι Erfurdt[0]: -λήτοισ M: -λήμοσι Heath 566 δειμακτι M: corr. Arsenius 568 corruptum u.v. ex Σ ad 567 ὄψιν ἀήθη ὁρῶντες (Hermann[32]): δίμορφον Headlam[4] 304: θεομανὲς Whittle[6] μιξόμβροτον M: corr. Wil.[19] 569 τὰ Paley[6]: τὰν M 570 τὰ Mc[a], Hermann[32]: τὰν M 571 τόδε M: corr. Steph. δὴ τίς Σ: δή τισ M 574 δι' Burges[8]: ζεὺσ M κρεῶν M, mg. κραίνων M[s] ἀπαύστου M 575 lac. stat. Canter: ⟨πράκτωρ τῶνδ' ἐφάνη Ζεύς⟩ Hermann[32]: ⟨Ζεύς νιν χειρὶ κατέσχεν⟩ Murray[1] (cf. 1066)

Διὸς δ' ἀπημάντωι σθένει
  καὶ θείαις ἐπιπνοίαις
παύεται, δακρύων δ' ἀπο-
  στάζει πένθιμον αἰδῶ.
580 λαβοῦσα δ' ἕρμα Δῖον ἀψευδεῖ λόγωι
γείνατο παῖδ' ἀμεμφῆ,

δι' αἰῶνος μακροῦ πάνολβον· — ant. 4
ἔνθεν πᾶσα βοᾶι χθών,
"φυσιζόου γένος τόδε
585   Ζηνός ἐστιν ἀληθῶς".
τίς γὰρ ἂν κατ⌋έπαυσε⌊ν Ἥ-
  ρας νόσους ἐ⌋πιβούλου⌊ς;
Διὸς τόδ' ἔργον. καὶ⌋ τόδ' ἂν γ⌊ένος λέγων
ἐξ Ἐπάφου κυ⌋ρήσαις.⌊

590 τίν' ἂν θεῶν ἐ⌋νδικω⌊τέροισιν — str. 5
κεκλοίμαν εὐλόγως ἐπ' ἔργοις;
⟨αὐτὸς ὁ⟩ πατὴρ φυτουργὸς αὐτόχειρ ἄναξ,
γένους παλαιόφρων μέγας
τέκτων, τὸ πᾶν μῆχαρ, οὔριος Ζεύς.

576 Διὸς Pearson[1]: βία M (dativum intell. Σ, sc. gl. ad σθένει) **584** φυσιζόου Schütz[2]: φυσίζοον M   γ' ἔρνος Weil[10] (contra Σ)   τόδε Porson[1]: τὸ δὴ M: τόδ' ἦ Headlam[14] 242   **586–90** frustula Π_4 **587** ἐπιβούλου Schütz[6] (ε]πιβουλου[Π_4)   **588** litteras fere x tantum ante]τοδ'ανγ[habuit Π_4 **589** κυρήσαι Pauw (contra Σ et Π_4 κυ]ρησαῖς[)   **592** ⟨αὐτὸς ὁ⟩ Heimsoeth[1] 14 ex Σ αὐτὸς ὁ πατὴρ φυτουργὸς τοῦ γένους: π. φ. ⟨αὐτὸς⟩ Voss

595 ὑπ' ἀρχᾶι δ' οὔτινος θοάζων — ant. 5
τὸ μεῖον κρεισσόνων κρατύνει·
οὔτινος ἄνωθεν ἡμένου σέβει κράτη,
πάρεστι δ' ἔργον ὥς ἔπος
σπεῦσαι. τί τῶνδ' οὐ Διὸς φέρει φρήν;

600 ΔΑ. θαρσεῖτε παῖδες· εὖ τὰ τῶν ἐγχωρίων·
δήμου δέδοκται παντελῆ ψηφίσματα.
ΧΟ. ὦ χαῖρε πρέσβυ, φίλτατ' ἀγγέλλων ἐμοί·
ἔνισπε δ' ἥμιν ποῖ κεκύρωται τέλος,
δήμου κρατοῦσα χεὶρ ⟨θ'⟩ ὅ⟨πηι⟩ πληθύ⟨ν⟩εται.
605 ΔΑ. ἔδοξεν Ἀργείοισιν, οὐ διχορρόπως,
ἀλλ' ὥστ' ἀνηβῆσαί με γηραιᾶι φρενί –
πανδημίαι γὰρ χερσὶ δεξιωνύμοις
ἔφριξεν αἰθὴρ τόνδε κραινόντων λόγον –
ἡμᾶς μετοικεῖν τῆσδε γῆς ἐλευθέρους
610 κἀρ⟨ρ⟩υσιάστους ξύν τ' ἀσυλίαι βροτῶν·
καὶ μήτ' ἐνοίκων μήτ' ἐπηλύδων τινά
ἄγειν· ἐὰν δὲ προστιθῆι τὸ καρτερόν,

595 ὑπ' ἀρχᾶι Blaydes[2] (poterat et ἀρχαῖς): ὑπ' ἀρχὰσ Σ M: ὑπ' ἀρχᾶς Schütz[6] (quo recepto δ' del. Thomson[2] 366): ὕπαρχος Elmsley[3] ad O.R. 2 596 ita Σ, τὸ μεῖον κρείσσον ὦν M. 'nec sub cuiusquam dominio sedens minus pollet aliis potentioribus' 597 οὔτινοσ in ὅστινοσ mut. M: corr. Ma κράτη Voss: κάτω M, quod ex Σ invasisse videtur: κράτος Heath 599 σπεῦσαί τι τῶν δούλιοσ M (βούλιος Portus[2]): corr. Keck[1] 16 (cf. 823. Ag. 1488) 601 δήμωι Butler: λαῶν (sublato puncto post ἐγχωρίων) Heimsoeth[3] 165 cl. 517.976 602 ἀγγέλων M[a] 603 ἐνόσπερ ἡμῖν M: corr. Rob. (ἔνεπε δ' Mc) κεκύρτωται M: corr. Arsenius 604 ⟨θ'⟩ Dind.[4], ὅπηι Portus[2], πληθύνεται Blomf.[7] ad Cho. 1044 (cf. Ag. 1370): οπληθύεται M 606 ἂν ἡβήσαιμι M: corr. Musgrave, Tyrwhitt[3] 607 δεξιώνυμοσ M, corr. M[s] 608 λόγω̥ν M 610 καρυσιάστουσ M: corr. Turn.

τὸν μὴ βοηθήσαντα τῶνδε γαμόρων
ἄτιμον εἶναι ξὺν φυγῆι δημηλάτωι.
615 τοιάνδ' ἔπειθε ῥῆσιν ἀμφ' ἡμῶν λέγων
ἄναξ Πελασγῶν, Ζηνὸς ἱκεσίου κότον
μέγαν προφωνῶν, μήποτ' εἰσόπιν χρόνου
πολὺν παχύναι, ξενικὸν ἀστικόν θ' ἅμα
λέγων διπλοῦν μίασμα πρὸ⟨ς⟩ πόλεως φανὲν
620 ἀμήχανον βόσκημα πημονῆς πέλειν.
τοιαῦτ' ἀκούων χερσὶν Ἀργεῖος λεὼς
ἔκραν' ἄνευ κλητῆρος ὥς εἶναι τάδε.
δημηγόρους δ' ἤκουσεν εὐπειθεῖς στροφὰς
δῆμος Πελασγῶν· Ζεὺς δ' ἐπέκρανεν τέλος.

625 ΧΟ. ἄγε δή, λέξωμεν ἐπ' Ἀργείοις
εὐχὰς ἀγαθάς, ἀγαθῶν ποινάς·
Ζεὺς δ' ἐφορεύοι ξένιος ξενίου
στόματος τιμὰς †ἐπ' ἀληθείαι
τέρμον' ἀμέμπτων πρὸς ἅπαντα†.

613 cf. Hsch. γ 125 614 St. Byz. 228.17

---

615 τοιαῦτ' Johansen[1] 54–7 616 Ζηνὸς ἱκεσίου Burges[4] 192 (cf. 347.385.478): ἱκεσίου ζηνὸσ M 617 προφωνῶν Canter[2] 467: πρόφρων ὢν M 618 πολὺν Scal.[2]: πόλιν M, sed hoc non legit Σ: πόλει Bothe[1]: μέγαν et 617 πόλει προφ. Johansen[5] παχύναι Σ[uv], Rob.: παχῦναι M: πλατῦναι M[s γρ] (πλατύναι Arsenius) 619 πρὸς Bothe[1]: προ M 620 ἀμηχάνου Aur.[3] 622 ἔκλαναν εὐκλήτοροσ M: corr. Arsenius (ἔκρανεν), Turn., cf. Σ ὥς Pauw: ὡσ M: ὧδ' Martin[2] 20: ὥστ' Blaydes[2] 623 δημηγόρου ... εὐπειθοῦς στροφῆς Bothe[1] εὐπειθεῖσ in -θεὶσ mut. M: εὐπιθεῖς Blomf.[5] ad Prom. 349: εὐπιθὴς Hartung 625 λέξομεν M: corr. Turn. 629 ἀμέμπτως Σ[uv] (βεβαίως εἰς παντελὲς [πᾶν τέλος Francken] φέρων αὐτάς): ἄμεμπτον Salvini: τέρμον' ἀπαντᾶν πρὸς ἄμεμπτον Weil[10] (ἄμ. προσαπαντᾶν Tucker[2]): possis ἐπ' ἀλητείας τέρμονι πρὸς πάντας ἀμέμπτως

630 †νῦν ὅτε καὶ† θεοὶ — str. 1
Δῖογενεῖς κλύοιτ' εὐκ-
ταῖα γένει χεούσας,
μήποτε πυρίφατον τάν⟨δε⟩ Πελασγίαν {πόλιν}
635 τὸν ἄκορον βοᾶς κτίσαι μάχλον Ἄρη,
τὸν ἀρότοις θερίζοντα βροτοὺς ἐν ἄλλοις,

οὕνεκ' ᾤκτισαν ἡμᾶς,
640 ψῆφον δ' εὔφρον' ἔθεντο,
αἰδοῦνται δ' ἱκέτας Διός,
ποίμναν τάνδ' ἀμέγαρτον·

οὐδὲ μετ' ἀρσένων — ant. 1
ψῆφον ἔθεντ' ἀτιμώ-
645 σαντες ἔριν γυναικῶν,
Δῖον ἐπιδόμενοι πράκτορ' ἀεὶ σκοπὸν
δυσπόλεμον, τὸν οὔτις ἂν δόμος ἔχων
650 ἐπ' ὀρόφων ἰαίνοιτο· βαρὺς δ' ἐφίζει.

630 ὅτε M (ἀντὶ τοῦ εἴ ποτε Σ): ἴτε Musgrave: ὄπ' ἐμὰν Badham[2] vii: ἱκέται Murray[1] **632** γένει (η supra ει) M, γένει Σ: πόλει F. W. Schmidt 24: τέλη Tucker[2] **633** πυρίφατον Turn.: πυρέφατον M (πυρὶ ἀναλωθεῖσαν Σ), sed locutio vix credibilis; fort. περίφατον 'inclutam' et 636 πτίσαι **634** τάνδε Lachmann[1] 64: τὰν M: γᾶν Bergk[2?], cf. ad 647 πόλιν del. Klausen[0] **635** ἄκορον Schwerdt[2], βοᾶς Kruse: ἀχόρον βοᾶν M (cf. 681) **638** ἐν ἄλλοις Σ M (ἐνάλλοις Pauw): ἐναίμοις Lachmann l.c.: ἐνόπλοις Burges[4] 192 **641** possis ἱκετᾶν Δ. π. **647** πράκτορ' ἀεὶ Martin[2] 21 (ἀείσκοπον Kruse): πράκτοράτε M: πράκτορ' ἐπί- Paley[2]: πράκτορα Bergk[2?], cf. ad 634 **648** δυσπόλεμον τὸν οὔτις Butler (δυσπάλαμον Oberdick[1]): δυσπολέμητον.ὂν οὔ|τισ M (ὄν τίς Burges[4] 421) **649** sq. ἔχων … ἰαίνοιτο Weil[9] ad Prom. 756: ἔχοι … μιαίνοντα M

ἅζονται γὰρ ὁμαίμους
Ζηνὸς ἵκτορας ἁγνοῦ·
τοιγάρτοι καθαροῖσι βω-
655 μοῖς θεοὺς ἀρέσονται.

τοιγὰρ ὑποσκίων str. 2
ἐκ στομάτων ποτάσ-
θω φιλότιμος εὐχά·
μήποτε λοιμὸς ἀνδρῶν
660 τάνδε πόλιν κενώσαι·
μηδ' ἐπιχωρίοις ⟨⏑ –⟩
πτώμασιν αἱματίσαι πέδον γᾶς.

ἥβας δ' ἄνθος ἄδρεπτον
ἔστω, μηδ' Ἀφροδίτας
665 εὐνάτωρ βροτολοιγὸς Ἄ-
ρης κέρσειεν ἄωτον.

καὶ γεραροῖσι πρεσ- ant. 2
βυτοδόκοι γέμου-
σαι θυμέλαι φλεγόντων·
670 τὼς πόλις εὖ νέμοιτο,

654 cf. Hsch. (Cyr.) τ 1057

652–3 possis ὁμαίμου ... ἁγνούς (hoc Schütz[6]) 659 λιμὸς Schütz[2]: λοιμὸν Paley[6] (cf. 633 sqq.) 660 τάνδε Faehse 319: τῶνδε M κενώσαι Turn.: κενῶσαι M 661 ⟨δόρυ⟩ Mazon: ⟨ἔρις⟩ Heath: ⟨στάσις⟩ Bamberger[6] 703/125 (cf. Eum. 977. Pers. 715) 662 τᾶς M: corr. Porson[1] 663 possis τ' (ad καὶ γεραροῖσι spectans) 668 πρεσβευτοδόκοις (malim -οι) Thoresby Jones γέμουσαι Kruse: γεμόντων Σ M: θυηλαῖς Schwerdt[2]. cf. Ag. 91 670 πόλεισ M: corr. Rob.

Ζῆνα μέγα⟨ν⟩ σεβόντων,
τὸν ξένιον δ' ὑπερτάτως,
ὃς πολιῶι νόμωι αἶσαν ὀρθοῖ.

τίκτεσθαι δ' ἐφόρους γᾶς
675 ἄλλους εὐχόμεθ' αἰεί,
Ἄρτεμιν δ' ἑκάταν γυναι-
κῶν λόχους ἐφορεύειν.

μηδέ τις ἀνδροκμὴς — str. 3
λοιγὸς ἐπελθέτω
680 τάνδε πόλιν δαΐζων,
ἄχορον ἀκίθαριν δακρυογόνον ἄρη
βοάν τ' ἔ⟨ν⟩δημον ἐξοπλίζων.

νούσων δ' ἑσμὸς ἀπ' ἀστῶν
685 ἵζοι κρατὸς ἀτερπής·
εὐμενὴς δ' ὁ Λύκειος ἔσ-
τω πάσαι νεολάιαι.

681–3 Plut. Amat. 758 f

---

671 ζῆν ἀμέγα M, ζῆνα μέγα Mb: corr. Asul. 672 ὑπερτάτως Ahrens[1] 28 (cf. Σ): ὑπέρτατον M 673 ὧσ M: corr. Turn. 674 δὲ φόρους Erfurdt[0] (contra Σ) 675 ἀεί M: corr. Pauw 677 λόγουσ M: corr. Sophianus 680 δαΐξων M[c] 681 ἄχοροσ M: ἄχαριν Plut.: corr. Aur.[3] ἀκίθαριν Plut.: κίθαρισ M 683 βοάν Σ M (βοᾶν M[a]): [...(..)]τᾶ Plut. codd.: βίαν Hermann[32] (cf. 99) τε δῆμον M Plut.: corr. Pauw, cf. Σ ἐξοπλίζων legit Plut. (-ζουσα scripsit sermoni suo aptans): ἔξω παίζων M 684 δεσμὸσ M: expl. Turn. 685 κράτοσ M: corr. Voss 686 λύκιοσ M: corr. Stanley[2]

καρποτελῆ δέ τοι — ant. 3
Ζεὺς ἐπικραινέτω
690 φέρματι γᾶν πανώρωι·
πρόνομα δὲ βοτὰ τοῖς πολύγονα τελέθοι·
τὸ πᾶν τ' ἐκ δαιμόνων θάλοιεν.

εὔφημον δ' ἐπὶ βωμοῖς
695 μοῦσαν θείατ' ἀοιδοί·
ἁγνῶν τ' ἐκ στομάτων φερέσ-
θω φήμα φιλοφόρμιγξ.

φυλάσσοι τ' ⟨εὖ τ⟩ὰ τίμι' ἀστοῖς — str. 4
τὸ δάμιον, τὸ πτόλιν κρατύνει,
700 προμαθὶς εὐκοινόμητις ἀρχά·
ξένοισί τ' εὐξυμβόλους,
πρὶν ἐξοπλίζειν ἄρη,
δίκας ἄτερ πημάτων διδοῖεν.

688 καρποτελῆ Portus[1]: -τελεῖ M 691 βοτὰ Turn., τοῖς Wecklein[3] 166: βρότατοσ M: βότ' ἀγροῖς Tucker[2]: ὀβρικάλοις Bergk[2?] 693 το πάντ' M: corr. Turn. δ' Schütz[2] θάλοιεν Hermann[32]: λάθοιεν M: λάχοιεν Dind.[12] 694 εὔφημον Turn. (-φαμον Dind.[4], cf. Eum. 1035.1039, at insequitur φήμα 697): εὐφήμοισ M κώμοις Geel 90, at cf. Thgn. anon. 779, Eur. El. 715 sqq. 695 μοῦσαι θεαί τ' M: corr. Hermann[26] 698 τ' εὖ τὰ τίμι' ἀστοῖς Headlam[10] (τἀπιτίμι' ἀστοῖς Bergk[8] 564): τ'ἀτιμίασ τιμὰσ M (puta τιμάς supra τὰ τίμια scriptum esse): ἀσφαλίασ M[mg] cum siglo sigli supra τ'ἀτ gemello, tamquam ἀτιμίας explicans (sc. ἀσφαλῶς = εὖ?): ἀμετακίνητοι εἶεν αὐτοῖς αἱ τιμαί Σ: τ' ἀσφαλεῖς (Schütz[6]) τε τιμάς Murray[2] 699 δάμιον Dind.[12]: δήμιον M 700 προμαθὶς Hermann[32]: προμῆθεὺσ (α supra η) M: προμαθές, Bergk[2?]

θεοὺς δ' οἳ γᾶν ἔχουσιν αἰεί — ant. 4
705 τίοιεν ἐγχωρίους πατρῴαις
δαφνηφόροις βουθύτοισι τιμαῖς·
τό τ' αὖ τεκόντων σέβας,
τρίτον τόδ' ἐν θεσμίοις
Δίκας γέγραπται μεγιστοτίμου.

710 ΔΑ. εὐχὰς μὲν αἰνῶ τάσδε σώφρονας, φίλαι·
ὑμεῖς δὲ μὴ τρέσητ' ἀκούσασαι πατρός
ἀπροσδοκήτους τούσδε καὶ νέους λόγους.
ἱκεταδόκου γὰρ τῆσδ' ἀπὸ σκοπῆς ὁρῶ
τὸ πλοῖον· εὔσημον γάρ· οὔ με λανθάνει
715 στολμοί τε λαίφους καὶ παραρρύσεις νεώς
καὶ πρῷρα πρόσθεν ὄμμασιν βλέπουσ' ὁδόν,
οἴακος εὐθυντῆρος ὑστάτου νεὼς
ἄγαν καλῶς κλύουσα, τὼς ἂν οὐ φίλη·
πρέπουσι δ' ἄνδρες νάϊοι μελαγχίμοις
720 γυίοισι λευκῶν ἐκ πεπλωμάτων ἰδεῖν.
καὶ τἄλλα πλοῖα πᾶσά θ' ἡπικουρία
εὔπρεπτος· αὐτὴ δ' ἡγεμὼν ὑπὸ χθόνα
στείλασα λαῖφος παγκρότως ἐρέσσεται.
ἀλλ' ἡσύχως χρὴ καὶ σεσωφρονισμένως
725 πρὸς πρᾶγμ' ὁρώσας τῶνδε μὴ ἀμελεῖν θεῶν·
ἐγὼ δ' ἀρωγοὺς ξυνδίκους θ' ἥξω λαβών.

704 ἀεὶ M: corr. Pauw 705 ἐνχωρίοισ πατρωῖασ M[a] ἐγχώριοι Blaydes[7] 90 706 δαφνοφόροισι[[ν]] M: corr. Arsenius (δαφνη-), Schütz[6] (-οις) δαφνα- Tucker[2] 707 τ' αὖ West[7] (δ' αὖ Hartung): γὰρ Σ M 709 μεγιστοτίμοις Tucker[2] 711 ἡμεῖσ δὲ μῆτρεσ ἀεὶ M: corr. Turn. 715 στολμός Weil[0] 717 συνουτῆροσ M: corr. Turn. 718 τῶσ[[']]ἂν M: τοῖσιν Herwerden[5] 130 οὕτως δὲ ἡμῖν κλύουσα τοῦ οἴακος οὐ φίλη ἐστίν Σ 719 νάϊοι Dind.[4]: νήϊοι M 720 γύοισι M: corr. Md 722 αὔτη Paley[1] 726 θήξω M: expl. Turn.

ἴσως γὰρ ἂν κήρυξ τις ἢ πρέσβη μόλοι,
ἄγειν θέλοντες, ῥυσίων ἐφάπτορες.
ἀλλ' οὐδὲν ἔσται τῶνδε· μὴ τρέσητέ νιν·
730 ὅμως ⟨δ'⟩ ἄμεινον, εἰ βραδύνοιμεν βοῆι,
ἀλκῆς λαθέσθαι τῆσδε μηδαμῶς ποτε.
θάρσει· χρόνωι τοι κυρίαι τ' ἐν ἡμέραι
θεοὺς ἀτίζων τις βροτῶν δώσει δίκην.

ΧΟ. πάτερ, φοβοῦμαι, νῆες ὡς ὠκύπτεροι — str. 1
735 ἥκουσι· μῆκος δ' οὐδὲν ἐν μέσωι χρόνου.
περίφοβόν μ' ἔχει τάρβος, ἐτητύμως
πολυδρόμου φυγᾶς ὄφελος εἴ τί μοι·
παροίχομαι πάτερ δείματι.
ΔΑ. ἐπεὶ τελεία ψῆφος Ἀργείων, τέκνα,
740 θάρσει· μαχοῦνται περὶ σέθεν, σάφ' οἶδ' ἐγώ.

⟨ΧΟ.⟩ ἐξῶλές ἐστι μάργον Αἰγύπτου γένος — ant. 1
μάχης τ' ἄπληστον· καὶ λέγω πρὸς εἰδότα.
δορυπαγεῖς δ' ἔχοντες κυανώπιδας
νῆας ἔπλευσαν ὧδ' ἐπὶ ταχεῖ κ⟨ρ⟩ότωι,
745 πολεῖ μελα⟨γ⟩χίμωι ξὺν στρατῶι.

727 γὰρ ἂν Burges[4] 414: γὰρ ἢ M: δ' ἂν ἢ Blaydes[2]: γὰρ εἰ Johansen[2] cum Whittle 729 τρέσα[η]ιτέ M (ss. M[s]) νῦν Turn., νυν Stanley[2] 730 ⟨δ'⟩ Geel 91 732 θαρσεῖτε M: corr. Turn. κυρίαι M ut mihi videtur: κυρίωι viderunt alii ἡμ- M 738 παροίχεται Σ? 739 τέκνον hic et 753 Schütz[6] 740 ἐγών M: corr. Md 744 ἐπεὶ τάχει M (ἐπὶ Ma) κρότωι Meineke[3] 245 (cf. 723): κότω M 745 πολεῖ anon.[2], Scal.[2] (πολλῶι Portus[2]): πόλει M μελαχείμω M: corr. Turn. ξὺν Porson[1]: σὺν M

ΔΑ. πολλούς δέ γ' εὑρήσουσιν ἐν μεσημβρίας   str. 2
θάλπει βραχίον' εὖ κατερρινωμένους.

⟨ΧΟ.⟩ μόνην δὲ μὴ πρόλ⟨ε⟩ιπε, λίσσομαι πάτερ·
γυνὴ μονωθεῖσ' οὐδέν· οὐκ ἔνεστ' ἄρης.
750 οὐλόφρονες δὲ καὶ δολ⟨ι⟩ομήτιδες,
δυσάγνοις φρεσὶν κόρακες ὥστε βω-
μῶν ἀλέγοντες οὐδέν.
ΔΑ. καλῶς ἂν ἡμῖν ξυμφέροι ταῦτ' ὦ τέκνα,   ant. 2
εἰ σοί τε καὶ θεοῖσιν ἐχθαιροίατο.

755 ⟨ΧΟ.⟩ οὐ μὴ τριαίνας τάσδε καὶ θεῶν σέβη
δείσαντες ἡμῶν χεῖρ' ἀπόσχωνται πάτερ.
περίφρονες δ' ἄγαν, ἀνιέρωι μένει
μεμαργωμένοι, κυνοθρασεῖς, θεῶν
οὐδὲν ἐπαΐοντες.
760 ΔΑ. ἀλλ' ἔστι φήμη τοὺς λύκους κρείσσους κυνῶν
εἶναι· βύβλου δὲ καρπὸς οὐ κρατεῖ στάχυν.

⟨ΧΟ.⟩ ὡς καὶ ματαίων ἀνοσίων τε κνωδάλων
ἔχοντας ὀργὰς χρὴ φυλάσσεσθαι †κράτος†.

761 (βύβλου –) Zenob. vulg. 2.73, Sud. β 587

---

746 μεσημβρίας Schütz[2]: -ίαι M: -ινῶι Bothe[1] (cf. Sept. 431) 747 θάλπτει βραχεῖον M: corr. Md κατερρινωμένους Voss: -νημένουσ M 748 με μὴ Blaydes[7] 90 πρόλιπε M: corr. Md 750 οὐλόφρονες Valckenaer[6]: δουλόφρονεσ M: δολόφρονες Portus[3] δέ ⟨τοι⟩ καὶ Heath: δ' ἐκεῖνοι Voss δολιομήτιδες Askew[2]: δολομ- M 751 φρεσσὶν M: corr. Ma 753 ⟨γ'⟩ ἂν Porson[1] τάδ' ὦ Elmsley[2] 79 760 κρείσσων (ουσ supra) M 762 ματαίους Harberton[1] ad καί ... τε cf. Eum. 75–7.277–8. Soph. O.R. 347. O.C. 1394 763 ἔχοντας Turn.: ἔχοντεσ M κράτος Σ M fort. ex 761 κρατεῖ: καλῶς Schütz[2]: κάρος Weil[15]: τάχος Tucker[2]: κράτει Stinton[5] 122

⟨ΔΑ.⟩ οὔτοι ταχεῖα ναυτικοῦ στρατοῦ στολή
765 οὔθ' ὅρμος, οὐδὲ πεισμάτων σωτηρίαν
εἰς γῆν ἐνεγκεῖν οὐδ' ἐν ἀγκυρουχίαις
θαρσοῦσι ναῶν ποιμένες παραυτίκα,
ἄλλως τε καὶ μολόντες ἀλίμενον χθόνα
εἰς νύκτ', ἀποστείχοντος ἡλίου· φιλεῖ
770 ὠδῖνα τίκτει⟨ν⟩ νὺξ κυβερνήτηι σοφῶι.
οὕτω γένοιτ' ἂν οὐδ' ἂν ἔκβασις στρατοῦ
καλή, πρὶν ὅρμωι ναῦν θρασυνθῆναι. σὺ δέ
φρόνει μέν, ὡς ταρβοῦσα, μὴ ἀμελεῖν θεῶν·
⟨ἐγὼ δὲ . . . .⟩
πράξας ἀρωγήν· ἄγγελον δ' οὐ μέμψεται
775 πόλις γέρονθ', ἡβῶντα δ' εὐγλώσσωι φρενί.

ΧΟ. ἰὼ γᾶ βοῦνι, πάνδικον σέβας, str. 1
τί πεισόμεσθα; ποῖ φύγωμεν Ἀπίας
χθονός, κελαινὸν εἴ τι κεῦθός ἐστί που;
μέλας γενοίμαν καπνός
780 νέφεσ⟨σ⟩ι γειτονῶν Διός·

770 Plut. Qu. conv. 619e, Non posse 1090a 776 cf. ad 117

764 ταχεῖαι ... στολῆι M (dativum fort. et Σ): corr. Mc (ταχεῖα), Turn. 765 οὔθ' West[7]: οὐδ' M πισμάτων M: corr. Arsenius σωτηρίαν Mc[a], cf. Σ: σωτηρίου M: σωτηρία Turn. 766 οὐδὲν M: expl. Rob., Turn. 768 ἀλλ' ὥστε M: corr. Arsenius 770 τίκτει M (et Plut. versum seorsum laudans): corr. Turn. νὺξ κ. σ. καὶ γαλήνη (γαληνῇ Reiske) Plut. 1090a, unde versum excidisse ci. Paley[1] qualem κἂν ἦι γαλήνη (hoc iam Wyttenbach) νήνεμός θ' εὕδηι κλύδων 772 ναῦς Johansen[2] cl. Σ post 773 lac. stat. Hartung. cf. 724–6 775 εὐγλώσσω⟦σ⟧ M 776 γᾶς Todt[3] 37: del. Pauw βοῦνι Dind.[1] ix: βουνῖτι M πάνδικον Paley[1] (cf. Σ): ἔνδικον M: σύνδικον Tucker[2] (cf. 726) 778 χθονός ad finem maluisset transferre Weil[10] 780 νέφεσι M: corr. D'Arnaud 266 γειτόνων M: corr. Turn.

τὸ πᾶν δ' ἄφαντος ἀμπετὴς ἀϊδνὸς ὡς
κόνῑς ἄτερθεν πτερύγων ὀλοίμαν.

ἀλυκτὸν δ' οὐκέτ' ἂν πέλοι κακόν· — ant. 1
785 κελαινόχρων δὲ πάλλεται φίλον κέαρ.
πατρὸ⟨ς⟩ σκοπαὶ δέ μ' εἷλον· οἴχομαι φόβωι.
θέλοιμι δ' ἂν μορσίμων
βρόχου τυχεῖν ἐν ἀρτάναις
790 πρὶν ἄνδρ' ἀπευκτὸν τῶιδε χριμφθῆν⟨αι⟩ χροΐ·
πρόπαρ θανούσας δ' Ἀΐδας ἀνάσσοι.

πόθεν δέ μοι γένοιτ' ἂν αἰθέρος θρόνος, — str. 2
πρὸς ὧι θ' ὑδρηλὰ γίγνεται χιὼν νέφη,
ἢ λισσὰς αἰγίλιψ ἀπρόσ-
795 δεικτος οἰόφρων κρεμὰς

782 Hsch. α 1780, Phot. α 541 789–90 cf. Hsch. (Cyr.) α 6091, Phot. α 2384, Synag. Ba. 119.17, Sud. α 3095; Hsch. χ 745 793 (ὑδρ.) Hsch. υ 81 794 (αἰγίλιψ) Paus. Att. α 38

---

782 ἀμπετὴς Hermann[32], ἀϊδνὸς ὡς Kirchhoff[2] (ἄϊστος Haupt): ἀμπετήσαισδόσωσ M 784 ἀλυκτὸν Hermann[32]: ἄφυκτον M: ἄφρικτον Heath κακόν Schütz[2]: κέαρ M: τέλος Headlam[6] 192 785 κελαινό- Lachmann[1] 48: μελανό- M -χρων … φίλον κέαρ Schwerdt[2] (cf. ad 784, et Cho. 410): -χρωσ … μου καρδία ΣM 786 πατροσκοπαι M: corr. Vict., cf. Σ 787 μορσίμων Schütz[6]: μορσίμου ΣM, quo servato λάχους pro βρόχου Dind.[6] 788 ἀρτάναις (160) Arsenius: σαργάναισ M (ἀργ- M[a]): ὀρκάναις Wecklein[8] 115 790 τῶδ'ἐχριμφθῆν M, -ῆναι Mc: τῶδε χριμφθῆν Arsenius χροῖν M: corr. Md 791 δ' del Portus[2] 793 ὧι Portus[2]: ὃν M θ' ὑδρ. γ. ν. χ. Hermann[22] 11/106 (χ. ν. Headlam[6] 192): νέφη δ' ὑδρ. γ. χ. M γείνεται M (γίν- Asul., Arsenius): corr. Porson[1] 794sq. ἀπρόσστεικτος Marckscheffel 173: ἀπρόσδερκτος Schneidewin[4] 159: ἀπρόσμικτος Newman[1] 39 οἰόπρων Pauw κρέμασ M: corr. Scholefield

γυπιὰς πέτρα, βαθὺ
πτῶμα μαρτυροῦσά μοι,
πρὶν δαΐκτορος βίαι
καρδιᾶς γάμου κυρῆσαι;

800 κυσὶν δ' ἔπειθ' ἕλωρα κἀπιχωρίοις — ant. 2
ὄρνισι δεῖπνον οὐκ ἀναίνομαι πέλειν·
τὸ γὰρ θανεῖν ἐλευθεροῦ-
ται φιλαιάκτων κακῶν.
ἐλθέτω μόρος, πρὸ κοί-
805 τας γαμηλίου τυχών.
ἀμφυγᾶς τίν' ἔτι πόρον
τέμνω γάμου λυτῆρα;

†ἴυζεν δ' ὀμφάν†, οὐράνια μέλη — str. 3
λιτανὰ θεοῖσι καὶ ⟨θεαῖς⟩,
810 τέλεα δέ {μοι} πως πελόμενά μοι
λυσίγαμ' ἄχειμ'. ἔπιδε πάτερ,

796 γυπίασ M: corr. Portus[1], Scal. **799** καρδιᾶς Johansen[3] 8: καρδίασ M **800** κύσειν M: corr. Arsenius **801** δείπναν M: corr. Mc **802** ita Σ M: ὁ γὰρ θανὼν Hartung **804** ἐλθέτω | ἐλθέτω M (ἐλθ. prius tamquam versus separatus): corr. Pauw, nisi ἴτῶ ἴτω scribendum (cf. Soph. Ant. 1329; Σ Sept. 690d, 964c.e ἴτω· ἐλθέτω) **806** ἀμφυγᾶς τίν' Headlam[4] 304 (praeeuntibus Bamberger[6] 707/129, aliis): τίν' ἀμφ' αυτᾶσ Σ M **807** τέμω Bamberger l.c.: τέτμω Schütz[6] λυτῆρα Pauw: καὶ λυτήρια M **808** ἴυζε δ' Arsenius: ἰύζετ' Page[3] ὀμφὰν del. Haupt μέλη del. Johansen[5] **809** λίτανα M ⟨θεαῖς⟩ Bamberger[6] 708/130, cf. Sept. 87.94 **810** μοι prius del. Burney[1] **811** λυσίγαμ' Headlam[6] 192 (cf. 807), ἄχειμ' Weil[10] (cf. Σ ἀτάραχα): λύσιμα· μάχιμα δ' M: fort. praestat λυσίκακ', cf. Σ λύσιμα τῶν κακῶν ἄχιμά τ' Wil.[19]

βίαια μὴ φίλοις ὁρῶν
ὄμμασιν, ἐνδίκως· σεβί-
815 ζου δ' ἱκέτας σέθεν, γαιάοχε παγκρατὲς Ζεῦ.

γένος γὰρ Αἰγύπτιον ὕβριν ant. 3
δύσφορον ⟨⏑ –⟩ ἀρσενογενές·
μετά με δρόμοισι διόμενοι
820 φυγάδα μάταισι πολυθρόοις
βίαια δίζηνται λαβεῖν.
σὸν δ' ἐπίπαν ζυγὸν ταλάν-
του· τί δ' ἄνευ σέθεν θνατοῖσ⟨ι⟩ τέλειόν ἐστιν;

⟨ΑΙΓΥΠΤΙΟΙ⟩
825 ὄ ὄ ὄ, ἄ ἄ ἄ·
ὅδε μάρπτις [
826a ναΐος [
b γάϊος [
⟨. . . . . .⟩

820 (μάταισι) Hsch. μ 388 826 (μάρπτυς) Hsch. μ 316

---

812 φίλοις Lachmann[1] 48: φιλεῖσ M: φίλως Marckscheffel 189 **813** ἐνδίκως Peiper: ἐνδίκοισ M **818** e.g. ⟨ἔφαν'⟩ **823** πιδανευ M: corr. Rob., Turn. θνατοῖσ M: corr. Bothe[1] **825** sqq. irrumpunt homunculi Aegyptii (non Aegypti filii). hunc chorum, qui stilo canit σατυρικωτέρωι (cf. Soph. Ichn. 176 sqq.), primus agnovit Wil., cf. Maas Gr. Metrik § 76 et Wil.[22] 461/479; v. etiam infra ad 871. lacunis et corruptelis laborat locus **825** barbaris trib. Merkelbach[2] 7 (cf. Soph. Ichn. 131.176): virginibus Σ ὄ ὄ ὄ, ἄ ἄ ἄ Merkelbach: ό ό ο ά ά ά M: ὀοοααᾶ (ὀᾶ protractum) Johansen[5] **826–6b** ὅδε – γάϊος in una linea fert M sed spatiis interiectis ut versiculi prostent tres, trunci videlicet. sensus videtur fuisse fere ὅδε μάρπτις [ἐγὼ Δαναοῦ μόσχων] ναΐος [ἐλθὼν διὰ κῦμ' ἅλιον] γάϊος [ἤδη· θήραν δ' ἁπαλὴν οὐ μετὰ δαρὸν θηράσω] μάρπισ M, μάρπτυς cod. Hsch.: corr. Turn. Σ ὁ ἐλθὼν ἐπὶ τὸ μάρψαι ἡμᾶς, et ὁ πρώην μὲν ἐπὶ νηός, νῦν δὲ ἐπὶ γῆς γεγονώς lac. stat. Wil.[19]

⟨ΧΟ.⟩ τῶν πρὸ μάρπτι κάμνοις, ἰόφ,
ὄμ[ ] αὖθι καββάς
νυ[ ]δυΐαν βοὰν ἀμφαίνω·
830 ὁρῶ τάδε πόνων βιαίων ἐμῶι φροίμια προξένωι.
ἠέ· ἠέ·
βαῖνε φυγᾶι πρὸς ἀλκάν.
⟨. . . . .⟩ βλοσυρόφρονα χλιδᾶι,
δύσφορα ναΐ κἀν γᾶι·
835 γάϊ' ἄναξ προτάσσου.
⟨ΑΙΓ.⟩ σοῦσθε σοῦσθ' ἐπὶ βᾶριν ὅπως ποδῶν.
οὔκουν οὔκουν τιλμοὶ τιλμοὶ καὶ στιγμοί,
840 πολυαίμων φόνιος ἀποκοπὰ κρατός;
σοῦσθε σοῦσθ' ὀλόμεναι †ὀλόμεν' ἐπαμίδα†.

836 cf. Hsch. σ 1362

---

827 πρόμαρπτι M: corr. Vict. ex Σ πρότερον θάνοις ὦ μάρπτι πρὶν ἡμᾶς συλλαβεῖν **828** inter ὄμ et αὖθι spat. vac. in M καββάς Stanley[1] ex Σ καταβὰς εἰς (κατακάcειc cod.): κάκκασ M aptum foret ὄμ[ματος ἐκτὸς] αὖθι καββὰς [ἅλα] **829** inter νυ et δυΐαν spat. vac. in M νῦ[ν Paley[2], cf. Σ οὐκέτι παρὰ τοῦ πατρὸς ἀκούσασα ἀλλ' αὐτόπτης γενομένη βοῶ vocem δύϊος (= δυερός?) agn. Theognost. Can. AO II 58.9 Cr., sed hic fort. latet εἰδυῖα (Hartung, cf. Σ), e.g. νῦ[ν δὲ τύχας εἰ]δυῖ' ἰὰν {βοὰν} ἀμφαίνω βοὰν Md: βοᾶν M **830** πόνων – προξένωι ita West[7]: φροίμια πράξαν πόνων βιαίων ἐμῶν M **833** lac. stat. Wil.[19] (contra Σ). deest fere ⟨κνώδαλα γὰρ τάδε⟩ **835** γάϊ' Ellis[2] 33: γᾶι· M (ὦ Πελασγέ Σ): γᾶς Peiper **836** σουσθεσὲσθ' M, corr. M[s] βάριν M: corr. Turn. **837** ποδῶν ⟨ἔχετε⟩ Hartung, cf. Σ, sed metrum obscurum: π. ⟨ἔχει τις⟩ Rose: possis et ⟨ἔνι⟩ π. **838** οὔκουν οὔκουν Butler et cum interrogationis siglo Wellauer[2]: οὐκοῦν οὐκοῦν M **842** σοῦσθεσέσθ' M, corr. M[s] ὀλόμεναι Turn.: ὀλύμεναι M (ὀλλύ- Md) ὀλόμεν' del. Rob. ἐπ' ἀμάδα Schütz[6], cf. fr. 214 (praestat ἀμᾶδα, cf. 847 ~ 859): fort. et hoc delendum (Rose)

⟨ΧΟ.⟩ εἴθ' ἀνὰ πολύρυτον — str. 1
ἁλμάεντα πόρον
845 δεσποσίωι ξὺν ὕβρει
γομφοδέτωι τε δόρει διώλου.
⟨ΑΙΓ.⟩ ⟨δί⟩αιμον ἔσω σ' ἐπ' ἀμᾶδα·
ἥσυχ' οὖν, ἔα τἀπιτά.
κελεύω βοᾶς μεθέσθαι· ⟨⏑ –⟩
850 ἶχαρ †φρενί τ' ἄταν†
†ἰὼ ἰὸν† ⟨. . . .⟩
λεῖφ' ἕδρανα, κί' εἰς δόρυ,
ἀτίετ' ἀνὰ πόλιν εὐσεβῶν.

⟨ΧΟ.⟩ μήποτε πάλιν ἴδοι⟨ς⟩ — ant. 1
855 ἀλφεσίβοιον ὕδωρ,
ἔνθεν ἀεξόμενον
ζώφυτον αἷμα βροτοῖσι θάλλει.

843 πολύρρυτον M: corr. Wellauer[2]: πολυρύταν Weil[10] 844 ἁλμήεντα M 845 δεσποσύνωι Steph. 846 δορὶ M: corr. Hermann[12] 628 847 ⟨δί⟩αιμον Weil[10], ἔσω σ' Paley[1]: αἵμονεσῶσ M: ἡιμαγμένον (-ην Haupt) σε καθίζω Σ ἐπ' ἀμάδα Schütz[6] (-ᾶδα West, cf. ad 842): ἐπάμιδα M 848 ἥσυχ' Paley[1], οὖν, ἔα West[7]: ησυδουπια M τἀπιτά Σ[uv] (ἀπιόντα κατὰ συγκοπήν), τάπιτα M: τἀπὶ γᾶι Hermann[32] 849 βοᾶς Rogers 19 (βοᾶν Headlam[6] 192): βία M fin. e.g. ⟨σβέσον⟩ (vel ⟨σβέσαι τ'⟩ si in 861 synapheam facias) 850 ἶχαρ M (ἐπιθυμία Σ; ἴχαρ Liddell–Scott) τὴν ἄτην τῆς φρενός Σ: fort. φρενί γ' ἄσαν 851 ἰὼ ἰὸν in fine vs. praecedentis M: ἰὼ ἰὼ Rob.: ἰώϊον Whittle[6]: possis ἰώ ἰώ ⟨βοᾶις, ἀνιάτως δ' ἔχει⟩ 852 ἴδρανα M: corr. Rob. 853 ἀτίετ(ε) ἀνὰ Σ, ἀτιέτανα M ἀτίετον ἄπολιν (Peiper) οὐ σέβω (Butler) Murray[1] 854 ειδοι M: corr. Maas[3] (εἴδοις Scal.[2]) 856 δεξόμενον M: corr. Steph. (δ' ἀεξ-), Portus[2], Scal.[2] 857 possis ἅρμα βοτοῖσι Portus[2]

⟨ΑΙΓ.⟩ἄρειος ἐγὼ βαθύχᾱος
860 †βαθρείας βαθρείας γέρον†.
σὺ δ' ἐ⟨ν⟩ ναῒ ναῒ βάσηι τάχα,
θέλεος ἀθέλεος.
βία βιᾶται πολλά· φροῦδα ⟨. . .⟩
βᾶτε †βαθυμιτροκακὰ παθῶν
865 ὀλόμεναι παλάμαις†.

⟨ΧΟ.⟩ αἰαῖ, αἰαῖ· str. 2
εἰ γὰρ δυσπαλάμως ὄλοιο
δι' ἁλίρρυτον ἄλσος
870 κατὰ Σαρπηδόνιον χῶμα πολύψαμμον ἀλαθεὶς
Συρίαισιν αὔραις.

869 cf. Hsch. σ 227, Phot. s. Σαρπηδών

---

859 ἄρειος West[7] (cf. Σ ad 857): ἄγειοσ M: incertum quid Σ (ἀναξία) βαθύχαος West[7]: βαθυχαῖοσ Σ M 860 ἐγὼ ἢ βαθυχαῖος ἀναξία ταύτης τῆς βαθρείας ὦ γέρον Σ balbutiens: fort. latet ἀρχέτας βαρειᾶν χερῶν vel sim. 861 δ' ἐν Burges[8]: δὲ Σ M τάχος Burges[8], cf. ad 849 863 βία βιᾶται πολλά· West[7]: βίαι βίαι τε πολλᾶι M (βίαν βίαν τε πολλὰν M[a] u.v.): βίαι πολλῆι κακοπαθῶν Σ: βόα βόα πολλά Rogers 20 λείπει πεπειραμέναι Σ ad πολλᾶι deinde e.g. φροῦδα ⟨δὴ τὰ σά·⟩ 864 βᾶτε Stanley[1]: βάτεαι M (admixta correctione αι ad βίαι τε supra pertinente?) βαθυμίτρωι Scal.[2]: βᾶθι, μὴ πρὸ κακὰ πάθηις Sidgwick[4]: e.g. βαθυμίτρων κακά | ὀλόμεν' ἀπάλαμα πα⟨ρ⟩θ⟨έν⟩ων (ἀπάλαμα Wecklein[19]) 867 εἰ Heath: καὶ M 870 πολυψάμαθον M: corr. Burges[4] 416 871 Συρίαισιν Badham[2] vi: εὐρείαισ εἰν M: ἀερίαισιν Hermann[32]: Εὐρεῖαισιν Paley[1] in sequentibus non iam barbarorum chorus sed praeco loquitur; huc pertinet Σ 877 εἷς ὑπὲρ τῶν Αἰγυπτίων πρεσβεύει (-οι M)

ΚΗΡΥΞ

882 βαίνειν κελεύω βᾶριν εἰς ἀμφίστροφον
ὅσον τάχιστα· μηδέ τι⟨ς⟩ σχολαζέτω.
884 ὁλκὴ γὰρ οὔτοι πλόκαμον οὐδάμ' ἅζεται.

876 ⟨ΧΟ.⟩ οἰοῖ, οἰοῖ — ant. 2
λύμας †ισύπρογασυλάσκει^{οι}
περιχαμπτὰ† βρυάζεις·
880 †ὄσ ἐρωτᾶσ† ὁ μέγας Πότμος ὑβρίζοντ' ἐπιτρίψει-
εν ἄϊστον ἄται.
872 ΚΗ. ἴυζε καὶ λάκαζε καὶ κάλει θεούς·
Αἰγυπτίαν γὰρ βᾶριν οὐχ ὑπερθορῆι.
{ἴυζε καὶ βόα}
875 †πικρότερ' ἀχέων οἰζύος ὄνομ' ἔχων†.

882 Et. Gud. auct. 261.23 Stef.

872–5 et 882–4 inter se transp. Oberdick[1] 882 ἀμφίστροφον Σ, Et.Gud.: ἀντίστροφον M 883 ὅρον M: corr. Md μηδέτι M: corr. Turn. 884 οὔτι Me οὐδαμάζεται M: expl. Pauw 876 οἶ quinquies M 877 de Κυπρογένει' ἱλάσκου cogitavi (vel Κύπρι ἄνασσ'; Κυπρογενεῖς iam Badham[2] vi): οἶ σὺ προβὰς ὑλάσκεις Martin[2] 22 (ὑλ. Scal.[2]): λύμας εἴθ' ὑπὸ γᾶς ὑλάσκοις M. Schmidt[0] (ὑλ. Arsenius; ὑπὸ γᾶι σὺ λάσκοις Johansen[5]) 878 περίκομπα Bothe[1]: περικαμπτὰ Salvini: περί, χάμψα Ellis[1] 23 879 fort. ὁ δ' ἐρείπτας: et de ἐς ἔρωτ'· ἀλλ' cogitavi (βρυάζει σὸς ἔρως· ἀλλ' Newman[1] 44) 880 Πότμος ὑβρίζοντ' West[7] (cf. ad Pers. 163): νεῖλοσ ὑβρίζοντα σε M, sed Σ ὁ Νεῖλός σε indicat haec glossemata esse; scil. ποτμος in ποταμος abierat (cf. ad Ag. 247). σε eiecerat Wellauer[2] ἐπιτρίψειεν ἄϊστον Portus[2]: ἀπὸ τρέψει | ἔναιστον M (-ειεν ἄϊστον Turn.): possis et ἀνατρέψειεν 881 ἄται West[7]: ὕβριν M 874/5 καὶ αὐτῶν τῶν ἀχέων (ἀχαιῶν a.c.) πικρότερα ἴυζε Σ ἴυζε καὶ βόα del. Hermann[32] (ἴυζε καὶ iam Burney[1], καὶ βόα iam Bothe[1]) οἰζύος νόμον (νόμον Butler) in fine trimetri Burges[8]; exspectaverim e.g. αὖθις δὲ καὶ πικρότερον ἀχήσεις νόμον

885 ΧΟ. οἰοῖ πάτερ, βρέτεος ἄρος — str. 3
⟨μ⟩ατᾶι· ⟨βίαι δέ⟩ μ' ἅλαδ' ἄγει
ἄραχνος ὣς βάδην
ὄναρ ὄναρ μέλαν.
ὀτοτοτοτοῖ,
890 μᾶ Γᾶ, μᾶ Γᾶ †βοᾶν†
φοβερὸν ἀπότρεπε·
ὦ βᾶ Γᾶς παῖ Ζεῦ.
ΚΗ. οὔτοι φοβοῦμαι δαίμονας τοὺς ἐνθάδε·
οὐ γάρ μ' ἔθρεψαν, οὐδὲ γηράσω τροφῆι.

895 ΧΟ. μαιμᾶι πέλας δίπους ὄφις· — ant. 3
ἔχιδνα δ' ὥς με [⏖ ⏑ –]
τί ποτ' ἔν[– ⏑ –]
δάκος ἀχ[– ⏑ –]
ὀτοτοτοτοῖ,
900 μᾶ Γᾶ, μᾶ Γᾶ †βοᾶν†
φοβερὸν ἀπότρεπε·
ὦ βᾶ Γᾶς παῖ Ζεῦ.

885–6 (βρ. – ἄτα) Eu. 1422.20; (ἄρος) Hsch. α 7370 — 895 (μαιμᾶι) Hsch. μ 71

---

885 βροτιοσα|ροσ M, βρότεος ἄρος Eust.: corr. Abresch II 199 ex Σ ἡ τῶν βρετέων ἐπικουρία — 886 ματᾶι Bamberger[6] 710/132, ⟨βίαι δέ⟩ West[7], μ' ἅλαδ' ἄγει Musgrave (ἅλαδ' ἄγει μ' Heath): αταιμαλδαάγει M (ἀτᾶι μ' Σ, ἄτα Eust.) — 890 *βόαν (= Lat. boam) Headlam[14] 242 (alio sensu iam Oberdick[1]): an νόαρ? si vox iambica fuit, fort. μᾶ alterum delendum — 892 βᾶ ignotum: πᾶ Voss, noluerat Pauw, cf. Σ ὦ πάτερ Ζεῦ Γῆς παῖ: ὦ παῖ Γᾶς πᾶ Ζεῦ Valckenaer[4]: ὦ Βαγαῖε πᾶ Ζεῦ Ahrens[3] II 567 — 894 γηράσω West[7]: γήρασαν Σ M — 896 ἔχις δ' Johansen[5], ἔχιδν' Sidgwick[4], ut sit dochmius — post με spat. vac.: e.g. με [προσβλέπει] — 897 sq. post ἔν et ἀχ spatia vacua: fort. ἔν[ανθ' ὁρῶ] δάκος; ἄχ[ος μ' ἔχει.] (ἄχ[ος μέγα Headlam[6] 192) — 900–2 v. ad 890–2

ΚΗ. εἰ μή τις εἰς ναῦν εἶσιν αἰνέσας τάδε,
λακὶς χιτῶνος ἔργον οὐ κατοικτιεῖ.

905 ΧΟ. ἰὼ πόλεως ἀγοὶ πρόμοι, δάμναμαι. str. 4
909 ΚΗ. ἕλξειν ἔοιχ' ὕμας ἐπισπάσας κόμης,
910 ἐπεὶ οὐκ ἀκούε⟨τ' ὀ⟩ξὺ τῶν ἐμῶν λόγων.

908 ⟨ΧΟ.⟩ διωλόμεσθ'· ἄεπτ' ἄναξ πάσχομεν. ant. 4
906 ⟨ΚΗ.⟩ πολλοὺς ἄνακτας, παῖδας Αἰγύπτου, τάχα
907 ὄψεσθε· θαρσεῖτ', οὐκ ἐρεῖτ' ἀναρχίαν.

911 ΠΕ. οὗτος, τί ποιεῖς; ἐκ ποίου φρονήματος
ἀνδρῶν Πελασγῶν τήνδ' ἀτιμάζεις χθόνα;
ἀλλ' ἦ γυναικῶν εἰς πόλιν δοκεῖς μολεῖν;
κάρβανος ὢν Ἕλλησιν ἐγχλίεις ἄγαν·
915 καὶ πόλλ' ἁμαρτὼν οὐδὲν ὤρθωσα⟨ς⟩ φρενί.
ΚΗ. τί δ' ἠμπλάκηται τῶνδ' ἐμοὶ δίκης ἄτερ;
ΠΕ. ξένος μὲν εἶναι πρῶτον οὐκ ἐπίστασαι.
ΚΗ. πῶς δ' οὐχί; τἄμ' ὀλωλόθ' εὑρίσκων ἄγω.
ΠΕ. ποίοισιν εἰπὼν προξένοις ἐγχωρίοις;
920 ΚΗ. Ἑρμῆι, μεγίστωι προξένω⟨ν⟩, μαστηρίωι.
ΠΕ. θεοῖσιν εἰπὼν τοὺς θεοὺς οὐδὲν σέβηι.

914 cf. Hsch. ε 349

---

905 πρόμνοι M: corr. Portus[2] 909–10 et 906–7 inter se transp. Heath: 905 et 908 Wil.[19] 909 ἐπισπάσας Pierson[1] 134: ἀπο σπάσασ M 910 οὐ κακοῦ ἔξυ M: corr. Porson[5], [6]161 (οὐκ ἀκού- iam Rob., Turn.) 908 -μεσθα ἑπτάναξ M: expl. Ahrens[0] (ἄελπτ' Rob., cf. Hes. Th. 660) 907 θάρσει τοῦ χερεῖ ταναρχίαν M: corr. Rob. 914 δ'ὢν M: corr. Turn.: ὢν δ' Porson[1] 915 ὤρθωσα M: corr. Rob., Turn., cf. Σ: ὤρθωσαι Whittle[6] φρενεὶ M: corr. Mc: φρένα Blaydes[7] 92 918 τ'ἀπολωλόθ' ... ἐγώ M: corr. Porson[9] 217 sq. 919 προσξένοισ M: corr. Vict. 920 προξένω M: corr. Wil.[6] 257/340 n.3

ΚΗ. τοὺς ἀμφὶ Νεῖλον δαίμονας σεβίζομαι.
ΠΕ. οἱ δ' ἐνθάδ' οὐδέν, ὡς ἐγὼ σέθεν κλύω.
ΚΗ. ἄγοιμ' ἄν, εἴ τις τάσδε μὴ'ξαιρήσεται.
925 ΠΕ. κλαίοις ἄν, εἰ ψαύσειας, οὐ μάλ' εἰς μακράν.
ΚΗ. ἤκουσα· τοὔπος οὐδαμῶς φιλόξενον.
ΠΕ. οὐ γὰρ ξενοῦμαι τοὺς θεῶν συλήτορας.
ΚΗ. λέγοιμ' ἂν ἐλθὼν παισὶν Αἰγύπτου τάδε.
ΠΕ. ἀβουκόλητον τοῦτ' ἐμῶι φρονήματι.
930 ΚΗ. ἀλλ' ὡς ἂν εἰδὼς ἐννέπω σαφέστερον –
καὶ γὰρ πρέπει κήρυκ' ἀπαγγέλ⟨λ⟩ειν τορῶς
ἕκαστα – πῶς φῶ, πρὸς τίνος τ' ἀφαιρεθείς
ἥκειν γυναικῶν αὐτανέψιον στόλον;
οὔτοι δικάζει ταῦτα μαρτύρων ὕπο
935 Ἄρης· τὸ νεῖκος δ' οὐκ ἐν ἀργύρου λαβῆι
ἔλυσεν· ἀλλὰ πολλὰ γίγνεται πάρος
πεσήματ' ἀνδρῶν κἀπολακτισμοὶ βίου.
⟨ΠΕ.⟩ τί σοὶ λέγειν χρὴ τοὔνομ'; ἐν χρόνωι μαθὼν
εἴσηι ⟨σύ⟩ τ' αὐτὸς χοὶ ξυνέμποροι σέθεν.
940 ταύτας δ' ἑκούσας μὲν κατ' εὔνοιαν φρενῶν
ἄγοις ἄν, εἴπερ εὐσεβὴς πίθοι λόγος·
⟨. . . . .⟩

937 Plut. De curios. 517 f, De facie 937 f

923 κλύω Md[mg]: κάτω M 924 οὔ τις Askew[2], Tyrwhitt[3] 925 κλάε[οι]ῖσ M: corr. Rob. οὐ Rob.: οὐδὲ M 926 τοὔπος ⟨δ'⟩ Headlam[6] 192, qui primus post ἤκουσα distinxit 928 λέγοισ M: corr. Heath 931 ἀπαγγέλειν M: corr. Mc 934–7 post 949 (praeconi retentos) trai. Schütz[2], post 950 Burges[4] 419: lac. post 933 stat. Weil[10] 936 γίνεται M: corr. Md 937 βίων Plut. utroque loco 939 εἰσθιγαυτοσχοιϊ M, mg. ἴσως γ'αὐτὸσ χ'οἱ M[s]: corr. Bothe[1] 941 λόγοισ M: corr. Turn. lac. stat. Hartung; deest 'invitas autem non ages'

τοιάδε δημόπρακτος ἐκ πόλεως μία
ψῆφος κέκρανται, μήποτ' ἐκδοῦναι βίαι
στόλον γυναικῶν. τῶνδ' ἐφήλωται τορῶ⟨ς⟩
945 γόμφος διαμπάξ, ὡς μένειν ἀραρότως.
ταῦτ' οὐ πίναξίν ἐστιν ἐγγεγραμμένα,
οὐδ' ἐν πτυχαῖς βύβλων κατεσφραγισμένα,
σαφῆ δ' ἀκούεις ἐξ ἐλευθεροστόμου
γλώσσης. κομίζου δ' ὡς τάχιστ' ἐξ ὀμμάτων.
950 ⟨ΚΗ.⟩ ἔοιγμεν ἤδη πόλεμον ἀρεῖσθαι νέον·
εἴη δὲ νίκη καὶ κράτος τοῖς ἄρσεσιν.
⟨ΠΕ.⟩ ἀλλ' ἄρσενάς τοι τῆσδε γῆς οἰκήτορας
εὑρήσετ', οὐ πίνοντας ἐκ κριθῶν μέθυ.

ὑμεῖς δὲ πᾶσαι ξὺν φίλαις ὀπάοσιν
955 θράσος λαβοῦσαι στείχετ' εὐερκῆ πόλιν
πύργων βαθείαι μηχανῆι κεκλῃμένην.
καὶ δώματ' ἐστὶ πολλὰ μὲν τὰ δήμια,
δεδωμάτωμαι δ' οὐδ' ἐγὼ σμικρᾶι χερί,
ἔνθ' ἔστιν ὕμιν εὐτύκους ναίειν δόμους
960 πολλῶν μετ' ἄλλων· εἰ δέ τις μείζων χάρις,
πάρεστιν οἰκεῖν καὶ μονο⟨ρ⟩ρύθμους δόμους.

942 δημόκραντος Blaydes[3] 153: δημότακτος Hartung 944 τῶνδε φιλωταὶ τορῶ M: corr. Turn. 945 ἀραρότα Meineke[0] post h. v. haud male inserere possis fr. 318 τοσαῦτα κῆρυξ ἐξ ἐμοῦ διάρτασον (peius post 953 Burges[8]) 947 βίβλων M: corr. Md 950 ἔοιγμεν (cf. 909) Cobet[1] 30: ἴσθι μὲν τᾶδ' M: σοὶ μὲν vel εἴ σοι τόδ' ἡδὺ Hermann[32] ἀρεῖσθαι Cobet l. c.: ἐρεισθε (ει ex ι) M: αἵρεσθαι Porson[5], [9]210/376 951 κράτος Nauck[0], Weil[10]: κράτη M 954 ξὺν Porson[1]: σὺν M φίλαις (cf. 977) Schütz[2]: φίλοισ M 955 θάρσος Pauw 958 post 961 trai. Burges[4] 419 959 ἔνθ' ἔστιν ὑμῖν Weil[2] ad Ag. 98: εὐθυμεῖν ἔστιν M: ἔνθ' ὑμὶν ἔστιν Kirchhoff[0] εὐτύκους Porson[1]: ἐντυχούσῃ M δόμους Turn.: δόμοισ M 960 δέ τωι Blaydes[7] 93 961 μονορύθμουσ M: corr. Md

τούτων τὰ λῷστα καὶ τὰ θυμηδέστατα,
πάρεστι, λωτίσασθε. προστάτης δ' ἐγὼ
ἀστοί τε πάντες, ὧνπερ ἥδε κραίνεται
965 ψῆφος. τί τῶνδε κυριωτέρους μένεις;

ΧΟ. ἀλλ' ἀντ' ἀγαθῶν ἀγαθοῖσ⟨ι⟩ βρύοις, δῖε Πελασγῶν·
πέμψον δὲ πρόφρων δεῦρ' ἡμέτερον
970 πατέρ' εὐθαρσῆ Δαναόν, πρόνοον καὶ βούλαρχον·
τοῦ γὰρ προτέρα μῆτις, ὅπου χρὴ δώματα ναίειν.
⟨. . . . .⟩ καὶ τόπος εὔφρων.
πᾶς τις ἐπειπεῖν ψόγον ἀλλοθρόοις
εὔτυκος· εἴη δὲ τὰ λῷστα.
⟨. . . . .⟩
975 ξύν τ' εὐκλείαι καὶ ἀμηνίτωι
βάξει λαῶν ἐγχώρων.
τάσσεσθε φίλαι δμωΐδες οὕτως
ὡς ἐφ' ἑκάστηι διεκλήρωσεν
Δαναὸς θεραποντίδα φερνήν.

963 λωτίσασθαι M: corr. Canter (ἀωτ- Dobree[3] 22/19) 966 ἀγαθοῖσ M: corr. Porson[1] post 971 (finem paginae in M) lac. stat. Page[3]: desidero ⟨οὕτω δὲ μάλιστ' αἴσι' ἂν εἴη⟩ vel sim. 972 κεἰ τόπος εὔφρων, Schwerdt[2] 974 εὔτυκτοσ M[s] ex εὖ τύκτοσ: corr. Spanheim[1] 534 post h.v. lac stat. Hermann[32]: desidero fere ⟨πατέρος δὲ φραδαῖς ἐπιπειθόμεναι βαῖμεν ἂν ἤδη ταῖσδ' ἅμ' ὀπαδοῖς· τὸ δὲ λοιπὸν ἔπειτ' Ἄργους αἰεὶ γῆς ναίοιμεν τῆσδε μέτοικοι⟩ ξύν τ' εὐκλείαι κτλ. 975–6 post 971 traicere possis, sed lacunae duae nihilominus statuendae erunt 975 ξύν Porson[1]: σύν M 976 post λαῶν lac. stat. Weil[10], post ἐν χώρωι Wellauer[2] ἐγχώρων Arsenius a.c., Zakas, ⟨τῶν⟩ ἐγχώρων Hermann[20] 325: ἐν χώρωι M: ἐνὶ (D'Arnaud 266) χώραι (Stanley[3]) τάσσεσθε Headlam[10]

980 ΔΑ. ὦ παῖδες, Ἀργείοισιν εὔχεσθαι χρεών
θύειν τε λείβειν θ᾽ ὡς θεοῖς Ὀλυμπίοις
σπονδάς, ἐπεὶ σωτῆρες οὐ διχορρόπως.
καί μου τὰ μὲν πραχθέντα πρὸς τοὺς ἐγγενεῖς
φίλους πικρῶς ἤκουσαν α⟨ὐ⟩τανεψίοις·
985 ἐμοὶ δ᾽ ὀπαδοὺς τούσδε καὶ δορυσσόους
ἔταξαν, ὡς ἔχοιμι τίμιον γέρας,
καὶ μήτ᾽ ἀέλπτως δορικανεῖ μόρωι θανὼν
λάθοιμι, χώραι δ᾽ ἄχθος αἰείζων πέλοι,
⟨μήτ᾽ . . . .
. . . . . τιμιωτέραν ἐμοῦ⟩.
τοιῶνδε τυγχάνοντας ἐκ πρυμνῆς φρενός
990 χάριν σέβεσθαι †τιμιωτέραν ἐμοῦ†.
καὶ ταῦθ᾽ ἅμ᾽ ἐγγράψασθε πρὸς γεγραμμένοις
πολλοῖσιν ἄλλοις σωφρονίσμασιν πατρός·
ἀγνῶθ᾽ ὅμιλον, ὡς ἐλέγχεται χρόνωι,
πᾶς δ᾽ ἐν μετοίκωι γλῶσσαν εὔτυκον φέρει
995 κακήν, τό τ᾽ εἰπεῖν εὐπετὲς μύσαγμά πως.

983 ἐκτενεῖσ M: corr. Heath 984 φίλους Mc: φίλου (ωσ supra) M ἀτανεψίουσ M (αὐτ- Arsenius): corr. Scal.[2] 985 ἐμοὐδ᾽ (δ ex σ) M: corr. Arsenius 987 μὴ ᾽ξ ἀέλπτων Paley[5], μηδ᾽ ἐξ ἀέλπτων (357) Dind.[12] δόρυκ᾽ἀνημέρωι M: corr. Porson[5], [9]210 (δορυκανεῖ) 988 ἀείζων M: corr. Mazon (αἰεὶ ζῶν Turn.) lac. stat. Paley[2]: τιμιωτέραν ἐμοῦ ex 990 huc duxit West[7]. ‘neu quis civium praeter regem dignitatem haberet supra me’ 989 ⟨δεῖ⟩ τυχόντας Lincke 234 ἐκ πρυμνῆς Portus[2]: εὐπρυμνῆ M 990 v. ad 988. possis e.g. τιμίαν ἥμας χρεών (τιμ. χρεών Heimsoeth[1] 144) 991 ταῦθ᾽ ἅμ᾽ ἐγγράψασθε Musgrave: ταῦτα μὲν γράψεσθε M (-ασθε Aur.[3]): ταῦτά μοι γρ. Hartung προσ-γεγραμμένουσ M, -οις Rob.: corr. Vict. post 992 lac. stat. Kayser: ⟨πεῖραν μὲν οὔτις προσμένει τῶν δρωμένων⟩ fere desid. Weil[10] 993 ὅμιλο⟦σ̌⟧ M[s] (ἀγνὼς ὅμιλος Schwerdt[2]) πως Zakas ἐλέγχεται Musgrave: ἐλέγχεσθαι ΣM 994 εὔτυχον M: corr. Spanheim[1] 534 995 πως] τῶι Merkelbach[2] 9

ὑμᾶς δ' ἐπαινῶ μὴ καταισχύνειν ἐμέ,
ὥραν ἐχούσας τήνδ' ἐπίστρεπτον βροτοῖς.
τέρειν' ὀπώρα δ' εὐφύλακτος οὐδαμῶς·
θῆρες δὲ κηραίνουσι καὶ βροτοί, τί μήν.
1000 καὶ κνώδαλα πτεροῦντα καὶ πεδοστιβῆ,
καρπώματα στάζοντα κηρύσσει Κύπρις,
κἄωρα μωλύουσ' ἅμ', ὡς μαίνειν ἔρωι,
καὶ παρθένων χλιδῆσιν εὐμόρφοις ἔπι
πᾶς τις παρελθὼν ὄμματος θελκτήριον
1005 τόξευμ' ἔπεμψεν, ἱμέρου νικώμενος.
πρὸς ταῦτα μὴ πάθωμεν ὧν πολὺς πόνος,
πολὺς δὲ πόντος οὕνεκ' ἠρόθη δορί,
μηδ' αἶσχος ἡμῖν, ἡδονὴν δ' ἐχθροῖς ἐμοῖς
πράξωμεν. οἴκησις δὲ καὶ διπλῆ πάρα·
1010 τὴν μὲν Πελασγός, τὴν δὲ καὶ πόλις διδοῖ,
οἰκεῖν λάτρων ἄτερθεν· εὐπετῆ τάδε.
μόνον φύλαξαι τάσδ' ἐπιστολὰς πατρός,
τὸ σωφρονεῖν τιμῶσα τοῦ βίου πλέον.
ΧΟ. τἄλλ' εὐτυχοῖμεν πρὸς θεῶν Ὀλυμπίων·
1015 ἐμῆς δ' ὀπώρας οὕνεκ' εὖ θάρσει πάτερ.
εἰ γάρ τι μὴ θεοῖς βεβούλευται νέον,
ἴχνος τὸ πρόσθεν οὐ διαστρέψω φρενός.

996 ὑμῖν Hartung (et 997 ἐχούσαις Herwerden[5] 131), cf. Cho. 581 999 δὲ] σφε Martin[2] 25 τιμὴν M: corr. Mc 1000 παιδοστιβῆ· M: corr. Rob. 1001 πάντα ἐπιθυμίαι δουλεύουσι Σ (ad 999 adscriptum) 1002 κἄωρα Portus[1]: καλωρα M μωλύουσ' ἅμ' ὡς μαίνειν West[7]: κωλύουσαν θωσμένην (ειν supra ην) M ἔρωι Voss: ἐρῶ M 1003 χλιδαῖσιν M 1006 παρῶμεν Tournier[0] 1007 οὐνὲκληρώθη M: corr. Heath 1009 οἰκήσεισ M: corr. Rob., Turn. διπλαῖ Young[4] 225 1011 λατρῶν M: corr. Hermann[32] 1012 φυλάξαι M: corr. Vict. 1014 paragr. huc reposuit Turn.: ante 1015 M 1015 εὐθάρσει Valckenaer[1] ad Pho. 1331: cf. ad Sept. 34 1016 θεοῖσ γὰρ εἴ τι μὴ Weil[10]

— ἴτε μὰν ἀστυάνακτας — str. 1
μάκ⟨α⟩ρας θεοὺς †γανάεντες†,
1020 πολιούχους τε καὶ οἳ χεῦμ' Ἐρασίνου
περιναίουσιν παλαιόν.
ὑποδέξασθε ⟨δ'⟩ ὀπαδοὶ
μέλος· αἶνος δὲ πόλιν τάνδε Πελασγῶν
ἐχέτω· μηδ' ἔτι Νείλου
1025 προχοὰς σέβωμεν ὕμνοις,

ποταμοὺς δ' οἳ διὰ χώρας — ant. 1
θελεμὸν πῶμα χέουσιν
πολύτεκνοι, λιπαροῖς χεύμασι γαίας
τόδε με⟨ι⟩λίσσοντες οὖδας.
1030 ἐπίδοι δ' Ἄρτεμις ἁγνὰ
στόλον οἰκτιζομένα, μηδ' ὑπ' ἀνάγκας
τέλος ἔλθοι Κυθερείας·
Στύγιον πέλοι τόδ' ἆθλον.

1020 (πολ.) Cyr. πολ 6, 33 1027 (θελεμόν) Hsch. θ 213

1018 ἄστυδ', ἄνακτας Tucker[2] 1019 μακρασ M: corr. Md[mg] γανόοντες Sidgwick[4]: γανόωντες Pauw: γανάοντες Bothe[1] 1021 περιναίουσι Pauw, -ουσιν Marckscheffel 163 n.: περιναίετε M 1022 ὑποδέξασθ' M: corr. Pauw 1095 b 1023 μέλος Legrand[0]: μένοσ M τῆνδε M: corr. Dind.[5] 1025 πρὸσχοὰσ M: corr. Rob., Turn. 1028 πολύτεκνον Blaydes[7] 94 (contra Σ) 1029 μελίσσοντεσ M: corr. Pauw 1032 τέλος Weil[10]: γάμος M ἔλθει M: corr. Asul., Arsenius Κυθερείαι στυγερὸν Burges[8] 1033 στύγειον M: corr. Steph.: στυγερὸν Turn. πέλει Mc

⟨ΑΡΓΕΙΟΙ⟩

Κύπριδος ⟨δ'⟩ οὐκ ἀμελεῖ⟨ν⟩, θεσμὸς ὅδ' εὔφρων· — str. 2
1035 δῦναται γὰρ Διὸς ἄγχιστα σὺν Ἥραι,
τίεται δ' αἰολόμητις
θεὸς ἔργοις ἐπὶ σεμνοῖς·
μετάκοινοι δὲ φίλᾱι ματρὶ πάρεισιν
Πόθος ⟨ᾇ⟩ τ' οὐδὲν ἄπαρνον
1040 τελέθει θέλκτορι Πειθοῖ,
δέδοταί θ' Ἁρμονίας μοῖρ' Ἀφροδίται
ψεδυρα⟨ὶ⟩ τρίβοι τ' ἐρώτων.

φυγάδεσ⟨σιν⟩ δ' ἐπιπνοίας κακά τ' ἄλγη — ant. 2
πολέμους θ' αἱματόεντας προφοβοῦμαι.
1045 τί ποτ' εὔπλοιαν ἔπραξαν
ταχυπόμποισι διωγμοῖς;
ὅτι τοι μόρσιμόν ἐστιν, τὸ γένοιτ' ἄν·
Διὸς οὐ παρβατός ἐστιν
μεγάλα φρὴν ἀπέρατος·

1040 cf. Phot. s. θελκτῶ, Sud. θ 109 **1042** cf. Hsch. ψ 101, Theognost. Can. p. 90.13 Alp.

1034–51 Argivis Danai satellitibus trib. Johansen[1] 61–4, eisdem ex parte iam Freericks 72sqq.: Danaidum ancillis (977, cf. 954) Kirchhoff[2], eisdem ex parte iam G.C.W. Schneider, alii **1034** ⟨δ'⟩ Pauw ἀμελεῖν, θεσμὸς Nauck[3] (cf. 707–8, Cho. 59.313): αμελεῖ θεσμὸσ ΣΜ: ἀμελὴς ἑσμὸς Weil[13] 81 (ἑσμὸς iam Portus[2]) **1038** δ'αἰ M: corr. Arsenius **1039** ⟨ᾇ⟩ Wellauer[2] **1040** θεα|κτορι M: corr. Musgrave πιθοῖ M: corr. Arsenius **1041** θ' West[7] (nol. Hermann[32]): δ' M Ἁρμονίας ... Ἀφροδίται Hartung: Ἁρμονίαι (M[s] ex -ίαν) ... Ἀφροδίτας ΣΜ **1042** ψεδυραὶ Scal.[2]: ψεδυρα M: ψυθερὰ vel leg. vel intelleg. Σ (ψευδής) **1043** φυγάδεσ M: corr. Burges[4] 420 ἐπιπνοίας Turn.: ἐπιπνοίαι M 'sin autem Veneris afflatum fugietis' **1048** παραβάτασ M: corr. Askew[2] **1049** ἀπέραντος Pauw

1050 μετὰ πολλᾶν δὲ γάμων ἅδε τελευτὰ
προτερᾶν πέλοι γυναικῶν.

⟨ΧΟ.⟩ ὁ μέγας Ζεὺς ἀπαλέξαι — str. 3
γάμον Αἰγυπτογενῆ μοι.
⟨ΑΡΓ.⟩ τὸ μὲν ἂν βέλτατον εἴη.
1055 ⟨ΧΟ.⟩ σὺ δὲ θέλγοις ἂν ἄθελκτον.
⟨ΑΡΓ.⟩ σὺ δέ γ' οὐκ οἶσθα τὸ μέλλον.

⟨ΧΟ.⟩ τί δὲ μέλλω φρένα Δίαν — ant. 3
καθορᾶν, ὄψιν ἄβυσσον;
⟨ΑΡΓ.⟩ μέτριόν νυν ἔπος εὔχου.
1060 ⟨ΧΟ.⟩ τίνα καιρόν με διδάσκεις;
⟨ΑΡΓ.⟩ τὰ θεῶν μηδὲν ἀγάζειν.

⟨ΧΟ.⟩ Ζεὺ⟨ς⟩ ἄναξ ἀποστεροί- — str. 4
η γάμον δυσάνορα
δάϊον, ὅσπερ Ἰώ
1065 πημονᾶς ἐλύσατ' εὖ
χειρὶ παιωνίαι
κατασχεθών, εὐμενῆ βίαν κτίσας·

1050 πολλᾶν Wil.[19]: πολλῶν M (Σ?) **1051** προτερᾶν Bothe[2] (et vol. Pauw): προτέραν M: †προτέρ† ἂν Whittle[6] praeeunte Taube πέλει Bothe[2] **1052–61** responsa ita divisit Haupt **1052** ἀπαλέξοι Wecklein[15] **1054** βέλτερον Dawe[5] 127 **1055** θέλγεισ ἀνάθελκτον M: corr. Steph. (v. McCall[1]) **1059** νῦν M: corr. Dind.[13] 230 **1062** ζεῦ M: corr. Mc **1063** γάμου M: corr. Rob., Turn. **1064** ὥσπερ Portus[2] **1067** κατασχέθων M: corr. Dind.[1] εὐμενεῖ βία M: corr. Valckenaer[0]

καὶ κράτος νέμοι γυναι- ant. 4
ξίν. τὸ βέλτερον κακοῦ
1070 καὶ τὸ δίμοιρον αἰνῶ,
καὶ †δίκα δίκας† ἕπεσ-
θαι ξὺν εὐχαῖς ἐμαῖς,
λυτηρίοις μαχαναῖς θεοῦ πάρα.

1070 καί τε M: corr. Rob., Turn., cf. Σ **1071** δίκαι δίκας Heath: δίκαι δίκαν Haupt: δίκαι τύχας Burges[4] 420: δίκα δίκαις ἐπέσθω Paley[1] (ἐπέσθω iam Musgrave) **1073** μαχαναῖς Dind.[12] (cf. Sept. 134): μηχ- M

CANTICORVM METRA

Siglis utor his:

$\bar{\times}$	syllaba longa in loco ancipiti
⏖	duae breves ex resolutione in loco principi
$\ddot{-}$	longa in loco bicipiti
|	finis vocabuli
||	finis periodi
|||	finis strophae
:| :||	accedit pausa syntactica
⁀	zeugma, i. e. vitatur finis vocabuli
∫	vocabulum una syllaba transgreditur colorum iuncturam
: :	mutatio personae
∼	respondet stropha antistropho
!	exclamatio (extra metrum)
$\wedge$	($ia_{\wedge}$, $da_{\wedge}$, etc.) metrum seu versus catalecticus
+	(δ^{+}, io^{+}) metrum seu versus hypercatalectus
an	metrum anapaesticum
ar	versus aristophaneus
ar^{d}	versus aristophaneus dactylo auctus (ar^{2d} = duobus dactylis auctus)
ch	choriambus
cr	creticus
δ	dochmius
d/D	– ∪ ∪ – / – ∪ ∪ – ∪ ∪ –
D^{2}/D^{3}	– ∪ ∪ – ∪ ∪ – ∪ ∪ – / – ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ ∪ –
$_{\wedge}D$	∪ ∪ – ∪ ∪ –
da	dactyli
$da_{\wedge\wedge}$	dactyli cum brachycatalexi (...– ∪ ∪ –)
dod	dodrans
$dod^{\cdot\cdot}$	dodrans inversus (– × – ∪ ∪ –)
e/E	in dactylo-epitritis cola – ∪ – / – ∪ – × – ∪ –
E^{2}	– ∪ – × – ∪ – × – ∪ –

gl	versus glyconeus
¨gl	versus glyconeus cum anaclasi (= ch ia)
hag	versus hagesichoreus
hag^{c}	versus hagesichoreus choriambo auctus
hδ	hypodochmius
hex	hexameter dactylicus
hi	versus hipponacteus
ia	metrum iambicum (${}_{\wedge}$ia / ia$_{\wedge}$ / ${}_{\wedge}$ia$_{\wedge}$ = – ∪ – / ∪ – – / – – pro metro iambico)
io	metrum ionicum
2io$^{\div}$	dimeter ionicus anaclasticus (= versus anacreonteus)
ith	versus ithyphallicus
kδ	dochmius kaibelianus
lec	lecythium
mol	molossus
pe	penthemimeres
ph	versus pherecrateus
tl	versus telesilleus
tl¨	versus telesilleus cum anaclasi (× – × – ∪ ∪ –)
tr	metrum trochaicum

Praeter opera in indice criticorum memorata citantur etiam:

Dale	A. M. Dale, Metrical Analyses of Tragic Choruses, BICS Suppl. 21.1–3, 1971–83
Dale CP	eadem, Collected Papers, Cambr. 1969
Dale LM^{2}	eadem, The Lyric Metres of Greek Drama, ed. alt., Cambr. 1968
West GM	M. L. West, Greek Metre, Oxford 1982

ΙΚΕΤΙΔΕΣ

40	49	– ∪ ∪ – ∪ ∪ – |	D |
41/2	50/1	– –̈ – ∪ ∪ – – ∪ – ×̄ – ∪ – ⏒ – ∪ ∪ – |	D E ⏒ d |
43/4	52/3	– ∪ ∪ – ∪ ∪ – ∪ ∪ – – ‖	4da∧ ‖
45/6	54/5	– ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ ∪ – – ‖	7da∧ ‖
47/8	56/7	– ∪ – ∪ ∪ – ∪ – – – ‖|	gl ∧ia∧ ‖|
58	63	– ∪ ∪ – – ∪ ∪ – – ∪ ∪ – |	3ch |
59	64	×̄ – ∪ ∪ – ∪ – ∪ – ‖	enneasyll. aeol. ‖
60	65	– ∪ – ∪ ∪ – – ∪ ∪ – – ∪ ∪ – |	dod¨ 2ch |
61	66	– ∪ ∪ – – ∪ ∪ – |	2ch |
62	67	×̄ – ∪ – | ∪ – ∪ – ‖|	2ia ‖|
68/9	77/8	– ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ⏓ ‖	6da∧ ‖
70/1	79/80	– – – ∪ ∪ – | – ∪ ∪ – ∪ – – ‖	hi^c ‖
72	81	∪ – ∪ ∪ – ∪ – – ‖	hag ‖
73	82	∪ – ∪ – ∪ – ∪ – |	2ia |
74	83	– ⏕ – ∪ ∪ – | – ∪ ∪ – |	D | d |
75	84	– ∪ ∪ – ∪ ∪ – |	D |
76	85	– ∪ – ∪ – ∪ – ‖|	lec ‖|
86	91	– –̈ – ∪ ∪ – ∪ ∪ –	D² ∫
87	92	– | ∪ ∪ – ∪ ∪ – – –̈ – ∪ ∪ – – ‖	D D – ‖
93	88	– –̈ – ∪ ∪ – |	D |
94	89	– ∪ – ∪ – –	∧ia ia∧
95	90	– ∪ – ∪ ∪ – ∪ – – ‖|	hi ‖|
96	104	∪ – – | – ∪ – |	ia∧ | ∧ia |
97/8	105/6	⏒ – ∪ – – ∪ – – ∪ – |	ia ∧ia ∧ia |
99	107	∪ – – ∪ – ∪ – – ‖	(v. ad Pers. 575)
100	108	– ∪ ∪ – – ∪ ∪ – |	2ch |
101	109	– ∪ ∪ – ⏒ – ∪ – |	ch ia |
102/3	110/11	– ∪ ∪ – ∪ – ∪ – – | ∪ ∪ – ∪ – – ‖|	ch ia ∫ ar ‖|

112	123	? ⏒ – ⏑ ⏖ ⏑ | ⏖ ⏑ | ⏖ ⏑ – ⏑ – |	3ia |
113	124	⏑ ⏖ | ⏑ ⏖ | ⏑ ⏖ ⏑ – ‖	2ia ‖
114	125	⏑ – ⏑ – ‖	ia ‖
115	126	⏑ – ⏑ – ⏑ – ⏑ – |	2ia |
116	127	– ⏑ ⏑ – ⏑ – – ⫴	ar ⫴

117 = 128	– ⏑ – – ⏑ – ⏑ – – – ‖	2cr $\delta_\wedge$ ‖
118/9 = 129/30	x̄ – ⏑ – – | x̄ – – – ‖	pe | $\delta_\wedge$ ‖
120/1 = 131/2	– ⏖ – ⏑ – | – ⏑ ⏖ | ⏖ ⏑ – |	δ | cr | cr |
122 = 133	– ⏑ ⏑ – ⏑ – – ⫴	ar ⫴

117/28] vel fort. (ἱλεῶμαι trisyll.) 2$\delta_\wedge$; vel x̄ – – ia \| $_\wedge$ia$_\wedge$ ‖
118/9 = 129/30] sive σὺ γᾶ legis, x̄ – ⏑ – – ⏑ – \| – – ‖ = ia $_\wedge$ia \| $_\wedge$ia$_\wedge$ ‖

134/5	144/5	⏑ – ⏑ – | ⏑ – ⏑ – ⏒ | ⏖ ⏑ – | ⏑ – ⏑ – ‖	4ia ‖
136/7	146/7	⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ – :| – ⏑ – ⏑ – ‖	2ia ia$_\wedge$ ia ‖
138/9	148/9	⏑ – – | – ⏑ – | ⏒ – ⏑ – – – |	ia$_\wedge$ | $_\wedge$ia | ia $_\wedge$ia$_\wedge$ |
140	150	– ⏑ – ⏑ – – ⫴	ith ⫴

141 = 151	– ⏑ – – ⏑ ⏑ – ⏑ – – |	$_\wedge$ia ar |
142 = 152	x̄ – ⏑ – ‖	ia ‖
143 = 153	⏑ ⏖ ⏑ ⏖ ⏑ – ⏑ – ⫴	2ia ⫴

141 = 151] vel io \| io$^+$ ‖

154	168	– ⏑ – ⏑ – – ‖	ith ‖
155	169	– ⏑ – ⏑ – ⏑ – |	lec |
156/7	170/1	x̄ – ⏑ – | – ⏑ – ⏑ – ⏑ –	ia | lec
158	172	– ⏑ – ⏑ – ⏑ – |	lec |
159	173	– ⏑ – ⏑ – ⏑ – ‖	lec ‖
160	174	– ⏑ – ⏑ – – ‖	ith ‖
161	175	– ⏑ – – ⏑ – ⏑ – ⏑ – ⫴	$_\wedge$ia lec ⫴

162	– – | x̄ – ⏑ – | – – ‖	$_\wedge$ia$_\wedge$ | ia | $_\wedge$ia$_\wedge$ ‖
163/4	– – | – ⏑ – | x̄ – ⏑ – |	$_\wedge$ia$_\wedge$ | $_\wedge$ia | ia |
165	⏑ ⏑ ⟨– ⏑ ⏑⟩ – ⏑ ⏑ – – ‖	⏑ ⏑ D – ‖
166/7	⏑ ⏑ – ⏑ – – ⏑ ⏑ – ⏑ – – ⫴	⏑ ⏑ – ⏑ – ar ⫴

163/5] vel fort. $_{\wedge}$ia$_{\wedge}$ | $_{\wedge}$ia | $_{\wedge}$ia$_{\wedge}$ | ⏑ D^{2} –‖ 166/7] vel ⏑ ⏑ – ⏑ – – ⏑ ⏑ – (= PMG 884.3 etc.) + ia$_{\wedge}$, cf. Wil.^{21} 292

<table>
<tr><td>348</td><td>359</td><td>ΧΟ.</td><td>⏑ – ⏑ –|⏑ – – ⏑ –|</td><td>ia|δ|</td></tr>
<tr><td>349</td><td>360</td><td></td><td>⏑ ⏖ – ⏑ –|⏑ – – ⏑ – :|</td><td>δ|δ|</td></tr>
<tr><td>350</td><td>361</td><td></td><td>⏑ ⏖ – ⏑ ⏑ –|⏑ ⏖ – ⏑ –|</td><td>δ|δ|</td></tr>
<tr><td>351</td><td>362</td><td></td><td>⏑ ⏖ – ⏑ – ⏑ ⏖ – ⏑ – – ⏖ – ⏑ –</td><td>3δ</td></tr>
<tr><td>352</td><td>363</td><td></td><td>– ⏑ ⏑ – ⏑ – ⏑ –</td><td>ch ia</td></tr>
<tr><td>353</td><td>364</td><td></td><td>– ⏑ ⏑ – ⏑ – –|||</td><td>ar|||</td></tr>
<tr><td>354/8</td><td>365/9</td><td>ΠΕ.</td><td></td><td>::3ia‖ × 5</td></tr>
<tr><td>370</td><td>381</td><td>ΧΟ.</td><td>⏑ – ⏑ –|⏑ ⏖ – ⏑ –|</td><td>::ia|δ|</td></tr>
<tr><td>371</td><td>382</td><td></td><td>⏑ ⏖ ⏖ ⏑ –|</td><td>δ|</td></tr>
<tr><td>372</td><td>383</td><td></td><td>⏑ – – – ⏑ – ⏑ – ⏑ –|</td><td>ia$_{\wedge}$ lec|</td></tr>
<tr><td>373</td><td>384</td><td></td><td>⏑ – – – ⏑ – ⏑ – ⏑ – :|</td><td>ia$_{\wedge}$ lec|</td></tr>
<tr><td>374</td><td>385</td><td></td><td>⏑ – – – ⏑ – ?⏒ – ⏑ –|</td><td>ia$_{\wedge}$ lec|</td></tr>
<tr><td>375</td><td>386</td><td></td><td>– ⏑ ⏑ – –|⏑ – ⏑ – –|||</td><td>ch∫ith|||</td></tr>
<tr><td>376/80</td><td>387/91</td><td>ΠΕ.</td><td></td><td>::3ia‖ × 5</td></tr>
<tr><td>392</td><td>402</td><td>ΧΟ.</td><td>– ⏖ – ⏑ – –|⏖ – ⏑ –|</td><td>::δ∫δ|</td></tr>
<tr><td>393</td><td>403</td><td></td><td>⏒ ⏖ – ⏑ –|⏑ – – ⏑ –|</td><td>δ|δ|</td></tr>
<tr><td>394</td><td>404</td><td></td><td>⏒ ⏖ – ⏑ –|⏑ ⏔ – ⏑ –|</td><td>δ|δ|</td></tr>
<tr><td>395</td><td>405</td><td></td><td>⏑ – – ⏑ –|⏑ ⏖ – ⏑ –|</td><td>δ|δ|</td></tr>
<tr><td>396</td><td>406</td><td></td><td>– ⏑ ⏑ – ⏑ – –|||</td><td>ar|||</td></tr>
<tr><td>397/401</td><td></td><td>ΠΕ.</td><td></td><td>::3ia‖ × 5</td></tr>
<tr><td>418</td><td>423</td><td></td><td>– ⏑ –|– ⏑ –|⏔ ⏑ –|</td><td>cr|cr|cr|</td></tr>
<tr><td>419</td><td>424</td><td></td><td>– ⏑ – – ⏑ –|</td><td>2cr|</td></tr>
<tr><td>420</td><td>425</td><td></td><td>– ⏑ ⏖ – ⏑ –|</td><td>2cr|</td></tr>
<tr><td>421</td><td>426</td><td></td><td>– ⏑ ⏖|– ⏑ –|</td><td>cr|cr|</td></tr>
<tr><td>422</td><td>427</td><td></td><td>– ⏑ – ⏔ ⏑ –|||</td><td>2cr|||</td></tr>
<tr><td>428</td><td>433</td><td></td><td>– ⏑ –|– ⏑ ⏖|– ⏑ –|</td><td>cr|cr|cr|</td></tr>
<tr><td>429/31</td><td>434/6</td><td></td><td>⏑ ⏖ – ⏑ –|⏑ – ⏖ ⏑ –|⏒ ⏔ – ⏑ –|</td><td>δ|δ|δ|</td></tr>
<tr><td>432</td><td>437</td><td></td><td>⏑ ⏖ – ⏑ – ⏑ ⏖ – ⏑ –|||</td><td>2δ|||</td></tr>
<tr><td>524</td><td>531</td><td></td><td>⏑ – ⏑ – – ⏑ ⏑ –|</td><td>ia ch|</td></tr>
<tr><td>525</td><td>532</td><td></td><td>⏑ – ⏑ ⏑ – ⏑ ⏑ –|</td><td>⏑ D|</td></tr>
<tr><td>526</td><td>533</td><td></td><td>⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – – ‖</td><td>⏑ D ia$_{\wedge}$ ‖</td></tr>
</table>

527	534	⏑ – ⏑ – ⏑ – – ‖	2ia$_{\wedge}$ ‖	
528	535	⏑ – ⏑ – – ⏑ ⏑ – ⏑ – – ‖	ia ch ia$_{\wedge}$ ‖	
529	536	– ⏕ – ⏑ ⏑ – ⏑ ⏑ – – |	4da$_{\wedge}$ |	
530	537	– ⏑ ⏑ – ⏑ – – ‖|	ar ‖|	
538	547	⏑ – – | – ⏑ – ⏑ – – |	ia$_{\wedge}$ | ith |	
539	548	– ⏑ ⏑ – ⏑ ⏑ – | ⏑ – – |	D | ia$_{\wedge}$ |	
540	549	⏒ – ⏑ – – ⏑ – ⏑ – – ‖	ia ith ‖	
541	550	– ⏖ ⏖ ⏑ ⏓ ‖	δ ‖	
542	551	– ⏑ ⏑ – ⏑ ⏑ – |	D |	
543	552	– ⏔ – ⏑ ⏑ – ⏑ ⏑ – |	D^{2} |	
544	553	– ⏑ ⏑ – | – ⏑ ⏑ – |	ch | ch |	}
545	554	– ⏑ ⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ –	3ch	} ar^{5c}
546	555	– ⏑ ⏑ – ⏑ – – ‖|	ar ‖|	}
556	565	⏑ – – | – ⏑ – ⏑ – ⏑ – |	ia$_{\wedge}$ | lec |	
557	566	– ⏒ – ⏑ ⏑ – – |	ph |	
558	567	– – – ⏑ ⏑ – – ‖	ph ‖	
559/60	568/9	⏒ – ⏑ ?⏔ ?⏒ – ⏑ – ⏒ – ⏑ – | ⏒ – ⏑ – ‖	4ia ‖	
561	570	⏑ – ⏑ – – | ⏑ – ⏑ – – ‖	ia ʃ ith ‖	
562	571	– ⏑ ⏑ – ⏑ – ⏑ –	ch ia ʃ	
563	572	– | ⏑ ⏑ – ⏑ – ⏑ –	ch ia	
564	573	– ⏑ ⏑ – ⏑ – – ‖|	ar ‖|	

562/4 ~ 571/3] vel – 2io$^{\div}$ | 2io$^{\div}$ io^{+} ‖|

574	582	⏑ – – – ⏑ – ⏑ – – ‖	ia$_{\wedge}$ ith ‖
575	583	– ?⏓ – ⏑ ⏑ – – ‖	ph ‖
576	584	⏒ – ⏑ – ⏒ – ⏑ – |	2ia |
577	585	– ⏓ – ⏑ ⏑ – – |	ph |
578	586	– ⏑ – ⏑ ⏑ – ⏑ – ⁀	gl
579	587	– ⏓ – ⏑ ⏑ – – ‖	ph ‖
580	588	⏑ – ⏑ – ⏒ | – ⏑ – ⏒ – ⏑ – |	3ia |
581	589	– ⏑ ⏑ – ⏑ – – ‖|	ar ‖|
590	595	⏑ – – | – ⏑ – ⏑ – – |	ia$_{\wedge}$ | ith |
591	596	⏑ – – | – ⏑ – ⏑ – – ‖	ia$_{\wedge}$ | ith ‖
592	597	– ⏖ ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ – |	3ia |
593	598	⏑ – ⏑ – ⏑ – ⏑ – |	2ia |
594	599	x̄ – ⏑ – | – ⏑ – ⏑ – – ‖|	ia | ith ‖|

630	643	– ⏖ – ⏑ –|	δ|
631/2	644/5	– ⏑ ⏑ – ⏑ – –⁀ ⏑ ⏑ – ⏑ – –|	2ar|
633/4	646/7	– ⏖ ⏖ ⏑ –|– ⏖ – ⏑ –|	δ|δ|
635/6	648/9	⏒ ⏖ – ⏑ – ⏑ – ⏖ ⏑ –|	2δ|
637/8	650/1	⏑ ⏖ – ⏑ –⁀ ⏑ ⏑ – ⏑ – – :||	δ ar||
639	652	– ⏒ – ⏑ ⏑ – – ||	ph||
640	653	– ⏒ – ⏑ ⏑ – ⏓ ||	ph||
641/2	654/5	– – – ⏑ ⏑ – ⏑ – – ⏒ – ⏑ ⏑ – –|||	gl ph|||

634∼647] vel fort. – ⏑ – ⏑ – hδ (v. app.)

656/7	667/8	– ⏖ – ⏑ – – ⏖ – ⏑ –	2δ ∫
658	669	–|⏑ ⏑ – ⏑ – – : ||	ar||
659	670	– ⏑ ⏑ – ⏑ – –|	ar|
660	671	– ⏑ ⏑ – ⏑ – –|	ar|
661	672	– ⏑ ⏑ – ⏑ – ⏑ –|	ch ia|
662	673	– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – – : ||	ar[d]||
663	674	– – – ⏑ ⏑ – – ||	ph||
664	675	– – – ⏑ ⏑ – – ||	ph||
665/6	676/7	– ⏓ – ⏑ ⏑ – ⏑ – –|⏓ – ⏑ ⏑ – –|||	gl∫ph|||

678/9	688/9	– ⏖ – ⏑ –|– ⏖ – ⏑ –|	δ|δ|
680	690	– ⏑ ⏑ – ⏑ – – : ||	ar||
681/2	691/2	⏑ ⏖ ⏖ ⏑ –|⏑ ⏖ ⏖ ⏑ –|	δ|δ|
683	693	⏑ – – – ⏑ – ⏑ – – : ||	ia$_\wedge$ ith||
684	694	– – – ⏑ ⏑ – – ||	ph||
685	695	– – – ⏑ ⏑ – – ||	ph||
686/7	696/7	– ⏒ – ⏑ ⏑ – ⏑ – –|– – ⏑ ⏑ – –|||	gl∫ph|||

698	704	⏑ – – – ⏑ – ⏑ – –|	ia$_\wedge$ ith|
699	705	⏑ – ⏑ – – ⏑ – ⏑ – –|	ia ith|
700	706	⏑ – ⏑ – – ⏑ – ⏑ – – :|	ia ith|
701	707	⏑ – ⏑ – – ⏑ –|	ia $_\wedge$ia|
702	708	⏑ – ⏑ – – ⏑ –|	ia $_\wedge$ia|
703	709	⏑ – ⏑ – – ⏑ – ⏑ – –|||	ia ith|||

734/5	741/2	ΧΟ.	3ia|| × 2
736	743	⏑ ⏖ – ⏑ – – ⏖ – ⏑ –|	2δ|
737	744	⏒ ⏖ – ⏑ –|⏑ ⏖ – ⏑ –|	δ|δ|

738	745		∪ – ∪ – ∪ – – ∪ ⏓ ‖	ia δ ‖
739/40	746/7	ΔΑ.		::3ia ‖ × 2
748/9	755/6	ΧΟ.		::3ia ‖ × 2
750	757		⏑̄ ∪∪ – ∪ – | ∪ ∪∪ – ∪ – |	δ | δ |
751	758		∪ – – ∪ – | ∪ ∪∪ – ∪ –	δ | δ
752	759		– ∪ ∪ – ∪ – – ‖	ar ‖
753/4	760/1	ΔΑ.		::3ia ‖ × 2
776	784		∪ – – | – ∪ – ∪ – ∪ – ‖	$ia_{\wedge}$ | lec ‖
777	785		∪ – ∪ – ∪ | – ∪ – ∪ – ∪ – ‖	3ia ‖
778	786		∪ – ∪ – ∪ | – ∪ – ∪ – ∪ – ‖	3ia ‖
779	787		∪ – ∪ – – ∪ – |	ia $_{\wedge}$ia |
780	788		∪ – ∪ – ∪ – ∪ – ‖	2ia ‖
781/2	789/90		∪ – ∪ – ⏑̄ | – ∪ – ⏑̄ – ∪ ⏓ ‖	3ia ‖
783	791		∪ – ∪ – – | ∪ ∪ – ∪ – – ‖‖	ia ∫ ar ‖‖
792	800		∪ – ∪ – ∪ – ∪ | – ∪ – ∪ – ‖	3ia ‖
793	801		⏑̄ – ∪ – ∪ | – ∪ – ∪ – ∪ – ‖	3ia ‖
794	802		⏑̄ – ∪ – ∪ – ∪ –	2ia
795	803		– ∪ – ⏑̄ – ∪ – ‖	lec ‖
796	804		– ∪ – ∪ – ∪ –	lec
797	805		– ∪ – ∪ – ∪ – ‖	lec ‖
798	806		– ∪ – ∪ ⏕ ∪ – |	lec |
799	807		×̄ – ∪ – | ∪ – – ‖‖	$2ia_{\wedge}$ ‖‖
808	817		∪ – ∪ – ∪ ∪∪ ∪ – |	2ia |
809	†818†		⏑̄ ∪∪ ∪ – ⏑̄ ⏕ ∪̇ – ‖	2ia ‖
810	819		∪ ∪∪ ∪ – ∪ ∪∪ ∪ – |	2ia |
811	820		⏑̄ ∪∪ ∪ – ∪ ∪∪ ∪ – |	2ia |
812	821		∪ – ∪ – ⏑̄ – ∪ – ‖	2ia ‖
813	822		– ∪ ∪ – ∪ – ∪ –	ch ia ∫
815/6	823/4		– | ∪ ∪ – ∪ – ⁀ ∪ ∪ – ∪ – – ‖‖	2ar ‖‖
	825	ΑΙΓ.	ὃ ὃ ὅ, ἅ ἅ ἅ· ‖	::! ‖
	826		∪ ∪ – ∪̇ [	$6an_{\wedge}$?
	826 a		– ∪ ∪̣ [	
	826 b		– ∪ ∪̇ [	

<table>
<tr><td></td><td>827</td><td>ΧΟ. – ∪ – ∪ – – ∪ – ‖</td><td>::cr δ ‖</td></tr>
<tr><td></td><td>828</td><td>?[– ∪ ∪] – ∪ – – ‖</td><td>ar? ‖</td></tr>
<tr><td></td><td>829</td><td>† –?[ ] ∪ ∪ –†|∪ – – x̄ – ‖</td><td>δ?|δ ‖</td></tr>
<tr><td></td><td>830</td><td>∪ – ∪∪ ∪ –|∪ – – ∪ –|– ∪∪ – ∪ – ‖</td><td>δ|δ|δ ‖</td></tr>
<tr><td></td><td>831</td><td>ἠέ· ἠέ· ‖</td><td>! ‖</td></tr>
<tr><td></td><td>832</td><td>– ∪ ∪ – ∪ – – ‖</td><td>ar ‖</td></tr>
<tr><td></td><td>833</td><td>⟨ ⟩|∪ ∪∪ ∪∪ ∪ –|</td><td>⟨δ⟩|δ|</td></tr>
<tr><td></td><td>834</td><td>– ∪ ∪ – ∪ – –|</td><td>ar|</td></tr>
<tr><td></td><td>835</td><td>– ∪ ∪ – ∪ – – ‖</td><td>ar ‖</td></tr>
<tr><td></td><td>836/7</td><td>ΑΙΓ. – ∪ – ∪ ∪ – ∪ ∪ – ∪ – ⟨ ⟩</td><td>:: ?</td></tr>
<tr><td></td><td>838/9</td><td>– – – –|– – – –|– – – – ‖</td><td>3an_∧ ‖</td></tr>
<tr><td></td><td>840/1</td><td>∪ ∪ – – ∪ ∪∪|∪ ∪∪ – x̄ –|</td><td>(δ)|δ|</td></tr>
<tr><td></td><td>842</td><td>– ∪ –|∪∪ ∪ –|† †</td><td>cr|cr|?δ ‖</td></tr>
<tr><td>843</td><td>854</td><td>ΧΟ. – ∪∪ ∪∪ ∪ – ‖</td><td>::δ ‖</td></tr>
<tr><td>844</td><td>855</td><td>– ∪∪ – ∪ ∪ –|</td><td>D|</td></tr>
<tr><td>845</td><td>856</td><td>– ∪ ∪ – ∪ ∪ –|</td><td>D|</td></tr>
<tr><td>846</td><td>857/8</td><td>– ∪ ∪ – ∪ ∪ – ∪ – – ‖</td><td>D ia_∧ ‖</td></tr>
<tr><td>847</td><td>859</td><td>ΑΙΓ. ∪ – ∪ ∪ – ∪ ∪ – ⏓ ‖</td><td>::∪ D – ‖</td></tr>
<tr><td>848</td><td>860</td><td>?– ∪ –|∪ – – ∪ ⏓ ‖</td><td>cr|δ ‖?</td></tr>
<tr><td>849</td><td>861</td><td>∪ – – ∪ – ∪ – – ∪ – ‖</td><td>2δ ‖</td></tr>
<tr><td>850</td><td>862</td><td>∪ ⏓∪ ∪∪ ∪ – ‖</td><td>δ ‖</td></tr>
<tr><td>851</td><td>863</td><td>∪ – ∪ – ∪ – ∪ – ∪ ⟨– ∪ –⟩ ‖</td><td>3ia ‖</td></tr>
<tr><td>852</td><td>864</td><td>– ∪ ∪∪ ∪ – ∪ – ‖</td><td>lec ‖</td></tr>
<tr><td>853</td><td>865</td><td>∪ ∪∪ ∪ ∪∪ ∪ – ∪ – |||</td><td>2ia |||</td></tr>
<tr><td>866</td><td>876</td><td>ΧΟ. ?⏓ – ?⏓ – ‖</td><td>::! (ia?) ‖</td></tr>
<tr><td>867</td><td>877</td><td>– – – ∪ ∪ – ∪ – ⏓ ‖</td><td>hi ‖</td></tr>
<tr><td>868</td><td>878</td><td>∪ ∪ – ∪ ∪ – –|</td><td>io_∧ io|</td></tr>
<tr><td>869/70</td><td>879/80</td><td>∪ ∪ – – ∪ ∪ – – ∪ ∪ – – ∪ ∪ – –</td><td>4io</td></tr>
<tr><td>871</td><td>881</td><td>∪ ∪ – ∪ – – |||</td><td>io⁺ |||</td></tr>
<tr><td>882/4</td><td>872/5</td><td>ΚΗ.</td><td>::3ia ‖ × 3</td></tr>
<tr><td>885</td><td>895</td><td>ΧΟ. x̄ – ∪ –|∪ ⏓∪ ∪ –|</td><td>::ia|ia|</td></tr>
<tr><td>886</td><td>896</td><td>∪ – ∪ – ∪ ⏓∪ ∪ – ‖</td><td>2ia ‖</td></tr>
<tr><td>887</td><td>897</td><td>∪ ∪∪ – ∪ –|</td><td>δ|</td></tr>
<tr><td>888</td><td>898</td><td>∪ ∪∪ – ∪ – ‖</td><td>δ ‖</td></tr>
<tr><td>889</td><td>899</td><td>ὀτοτοτοτοῖ|</td><td>! (ia)|</td></tr>
<tr><td>890</td><td>900</td><td>– – – – † ∪ – †|</td><td>δ?|</td></tr>
</table>

891	901		⏑ ⏖ ⏖ ⏑ ⏓ ‖	δ ‖
892	902		x̄ – – x̄ – |||	δ |||
893/4	903/4	KH.		::3ia ‖ × 2
905	908	XO.	⏑ – ⏑ – | ⏑ – ⏑ – | – ⏑ – ‖	::ia | ia | ‸ia ‖
909/10	906/7	KH.		::3ia ‖ × 2

905 ~ 908] vel kδ | δ ‖

1018	26	⏑ ⏑ – – ⏑ ⏑ – – |	2io |
1019	27	⏑ ⏑ – – ⏑ ⏑ – – |	2io |
1020	28	⏑ ⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ – – |	3io |
1021	29	⏑ ⏑ – x̄ – ⏑ – – :‖	2io÷ ‖
1022	30	⏑ ⏑ – – ⏑ ⏑ – – |	2io |
1023	31	⏑ ⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ – – |	3io |
1024	32	⏑ ⏑ – – ⏑ ⏑ – – |	2io |
1025	33	⏑ ⏑ – ⏑ – ⏑ – – |||	2io÷ |||
1034	43	⏑ ⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ – – |	3io |
1035	44	⏑ ⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ – – :|	3io |
1036	45	⏑ ⏑ – – ⏑ ⏑ – – |	2io |
1037	46	⏑ ⏑ – – ⏑ ⏑ – – :‖	2io ‖
1038	47	⏑ ⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ – – |	3io |
1039	48	⏑ ⏑ – – ⏑ ⏑ – – |	2io |
1040	49	⏑ ⏑ – – ⏑ ⏑ – – :‖	2io ‖
1041	50	⏑ ⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ – – |	3io |
1042	51	⏑ ⏑ – ⏑ – ⏑ – – |||	2io÷ |||

1052	57	XO.	⏑ ⏑ – – ⏑ ⏑ – – |	::2io |
1053	58		⏑ ⏑ – – ⏑ ⏑ – – |	2io |
1054	59	ΑΡΓ.	⏑ ⏑ – – ⏑ ⏑ – – |	::2io |
1055	60	XO.	⏑ ⏑ – – ⏑ ⏑ – – |	::2io |
1056	61	ΑΡΓ.	⏑ ⏑ – – ⏑ ⏑ – – |||	::2io |||

1062/3	68/9	– ⏑ – ⏑ – ⏑ – – | ⏑ – ⏑ – ⏑ ⏓ ‖	lec ∫ lec ‖
1064	70	– ⏑ ⏑ – ⏑ – – ‖	ar ‖
1065/6	71/2	– ⏑ – ⏑ – ⏑ – – ⏑ – – ⏑ – |	lec ‸ia ‸ia |
1067	73	⏑ – ⏑ – | – ⏑ – ⏑ – ⏑ ⏓ |||	ia | lec |||